Epitomae adhibentur

D codex Darmstadiensis
M codex Monacensis gr. 327
R codex Rehdigeranus 146
V codex Vaticanus Vrbinas 47

---

SISMANOGLIO MEGARO

# ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

## ΤΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΟΝΟΜΑΤΩΝ ΕΠΙΤΟΜΗ

huius edit p

3 *Δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε Ῥοῦφε Μελίτιε, τοῦτο δίδωμι, καθάπερ ἡ παρ' Ὁμήρῳ φησὶν Ἑλένη ξενίζουσα τὸν Τηλέμαχον, πρώτην ἡμέραν ἄγοντι ταύτην γενέθλιον, ἀφ' οὗ παραγέγονας εἰς ἀνδρὸς ἡλικίαν. πέμπω δὲ κτῆμα τὸ αὐτὸ καὶ χρῆμα πρὸς πάσας τὰς ἐν τῷ βίῳ χρείας, ὁπόσαι γίνονται διὰ λόγων ὠφελίμων.*

4 *Διττῆς γὰρ οὔσης ἀσκήσεως περὶ πάντας ὡς εἰπεῖν τοὺς λόγους, τῆς περὶ τὰ νοήματα καὶ τὴν λέξιν, ὧν ἡ μὲν τοῦ πραγματικοῦ τόπου μᾶλλον ἐφάπτεσθαι δόξειεν ἄν, ἡ δὲ τοῦ λεκτικοῦ, καὶ πάντων ὅσοι τοῦ λέγειν εὖ στοχάζονται περὶ ἀμφοτέρας τὰς θεωρίας τοῦ λόγου ταύτας σπουδαζόντων ἐξ ἴσου, ἡ μὲν ἐπὶ τὰ πράγματα καὶ τὴν ἐν τούτοις φρόνησιν ἄγουσα ἡμᾶς ἐπιστήμη βραδεῖά ἐστι καὶ χαλεπὴ νέοις, μᾶλλον*

1—4 om MR 3 τοῦ om V 5 ὠρόν M | σοι V | καὶ om R | φίλε τέκνον D | φίλον V 8 οὗ] οὗπερ M | ἐς V | ἡλικίαν ταύτην D 9 κτῆμα σοι τὸ R 10 ἐν τῷ] ἐν D | γένωνται M | ὠφέλιμον M 16 τὰς om V 17 τοῦ λόγου ταύτας om M 18 ἄγουσαν R

δὲ ἀδύνατος εἰς ἀγενείων καὶ μειρακίων πεσεῖν ἡλι-
κίαν· ἀκμαζούσης γὰρ ἤδη συνέσεως ἐστὶν ἡ τούτων
κατάληψις πολλῇ μὲν ἱστορίᾳ λόγων τε καὶ ἔργων,
πολλῇ δὲ πείρᾳ καὶ συμφορᾷ παθῶν οἰκείων τε καὶ
ἀλλοτρίων συναυξομένη. τὸ δὲ περὶ τὰς λέξεις φιλό-
καλον καὶ ταῖς νεαραῖς συνανθεῖν εἴωθεν οὐχ ἧττον
ἡλικίαις· ἐπτόηται γὰρ ἅπασα νέου ψυχὴ περὶ τὸν τῆς
ἑρμηνείας ὡραϊσμόν, ἀλόγους τινὰς καὶ ὥσπερ ἐνθου- 5
σιώδεις ἐπὶ τοῦτο λαμβάνουσα τὰς ὁρμάς· οἷς πολλῆς
πάνυ καὶ ἔμφρονος δεῖ τῆς πρώτης ἐπιστάσεώς τε καὶ
ἀγωγῆς, εἰ μέλλουσι μὴ πᾶν, ὅ τι κεν ἐπ' ἀκαιρίμαν
γλῶσσαν ἔπος ἔλθοι, λέγειν μηδ' εἰκῇ συνθήσειν τὰ
προστυχόντα ἀλλήλοις, ἀλλ' ἐκλογῇ κεχρῆσθαι καθαρῶν
ἅμα καὶ γενναίων ὀνομάτων, καὶ συνθέσει ταῦτα κοσμή-
σειν μεμιγμένον ἐχούσῃ τῷ σεμνῷ τὸ ἡδύ.

2 Ἡ δὲ σύνθεσις ἔστι μὲν ὥσπερ καὶ αὐτὸ δηλοῖ 6
τοὔνομα, ποιά τις θέσις παράλληλος τῶν τοῦ λόγου
μορίων· ἃ δὴ καὶ στοιχεῖα τινὲς τῆς λέξεως καλοῦσιν.
ἡ δὲ τῶν τοιούτων μερῶν πλοκὴ καὶ παράθεσις τὰ 7
λεγόμενα ποιεῖ κῶλα· ἔπειθ' ἡ τούτων ἁρμονία τὰς
καλουμένας συμπληροῖ περιόδους· αὗται δὲ τὸν σύμ-
παντα τελειοῦσι λόγον.

Ἔστι δὴ τῆς συνθέσεως ἔργα τά τε ὀνόματα οἰκείως
θεῖναι παρ' ἄλληλα καὶ τοῖς κώλοις ἀποδοῦναι τὴν
προσήκουσαν ἁρμονίαν καὶ ταῖς περιόδοις διαλαβεῖν
εὖ τὸν λόγον. δευτέρα δ' οὖσα μοῖρα τῶν περὶ τὸν
λεκτικὸν τόπον θεωρημάτων κατανοοῦντι τὴν τάξιν

3 κατάληψις] κατάληψις δήπουθεν D 5 συναυξανομένη M 7 τὸν τῆς] τὸν D 10 εὔφρονος V 11 ἀκαιρίαν R 12 γλῶτταν D | ἔπος om D 13 χρῆσθαι R 17 ποιά τις σύνθεσις M 18 δὴ] δεῖ D 24 παράλληλα DRV



8 (ἡγεῖται γὰρ ἡ τῶν ὀνομάτων ἐκλογὴ καὶ προὐφίστα-
ται ταύτης κατὰ φύσιν) ἡδονὴν καὶ πειθὼ καὶ κράτος
ἐν τοῖς λόγοις οὐκ ὀλίγῳ κρεῖττον ἐκείνης ἔχει. καὶ
γὰρ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν, ὅσαι διαφόρους ὕλας
λαμβάνουσαι συμφορητὸν ἐκ τούτων ποιοῦσι τὸ τέλος,
ὡς οἰκοδομικὴ καὶ τεκτονικὴ καὶ πολιτική, τὸ αὐτὸ
συμβαίνει· αἱ γὰρ συνθετικαὶ δυνάμεις τῇ μὲν τάξει
δεύτεραι τῶν λεκτικῶν εἰσι, τῇ δὲ δυνάμει πρότεραι.

Ἔστι τοίνυν πᾶσα λέξις, ᾗ σημαίνομεν τὰς νοήσεις, 3
ἡ μὲν ἄμετρος, ἡ δ' ἔμμετρος· ὧν ἑκατέρα καλῆς μὲν
ἁρμονίας τυχοῦσα καλὸν οἷά τε ἐστὶ ποιεῖν καὶ τὸ
μέτρον καὶ τὸν λόγον· ἀνεπιστάτως δὲ καὶ ὡς ἔτυχε
9 ῥιπτομένη προσαπόλλυσι καὶ τὸ ἐν τῇ διανοίᾳ χρήσι-
μον. πολλοὶ γοῦν καὶ ποιηταὶ καὶ συγγραφεῖς, φιλό-
σοφοί τε καὶ ῥήτορες λέξεις πάνυ καλὰς καὶ πρεπούσας
τοῖς ὑποκειμένοις ἐκλέξαντες ἐπιμελῶς, ἁρμονίαν δὲ
αὐταῖς ἀποδόντες εἰκαίαν τινὰ καὶ ἄμουσον, οὐδὲν
χρηστὸν ἀπέλαυσαν ἐκείνου τοῦ πόνου· ἕτεροι δ' εὐκα-
ταφρόνητα καὶ ταπεινὰ λαβόντες ὀνόματα, συνθέντες
δ' αὐτὰ ἰδίως καὶ περιττῶς, πολλὴν τὴν ἀφροδίτην τῷ
λόγῳ περιέθηκαν. καὶ σχεδὸν ἀνάλογόν τι πεπονθέναι
δόξειεν ἂν ἡ σύνθεσις πρὸς τὴν ἐκλογήν, ὃ πάσχει τὰ
ὀνόματα πρὸς τὰ νοήματα. ὥσπερ γὰρ οὐδὲν ὄφελός
ἐστι διανοίας χρηστῆς, εἰ μή τις αὐτῇ κόσμον ἀποδώσει
καλῆς ὀνομασίας, οὕτω καὶ ἐνταῦθα οὐδέν ἐστι προὔρ-
γου λέξιν εὑρεῖν καθαρὰν καὶ καλλιρήμονα, εἰ μὴ

2 φύσιν ἡδονὴ V 5 λαμβάνουσι V cf F 6 πολιτικῆ V tribus his nominibus circumflexum dat R 8 ἐλεγκτικῶν V | τῇ δυνάμει δὲ δεύτεραι V 10 ὡς ἑτέρα V 11 οἷά τε ἐστὶ M 12 καὶ ὡς] ὡς V 14 καὶ ante ποιηταὶ om M 17 αὐτοῖς DR 20 δ' αὐτὰ] δὲ R | ἰδίως MV: ἡδέως DR 22 ἂν om R 25 προὔργου] πανούργου M 26 καλλιρρήμονα V καλιρρήμονα R

καὶ κόσμον αὐτῇ τις ἁρμονίας τὸν προσήκοντα περιθήσει.

Ὅτι δὲ κρεῖττον ἄσκημα καὶ τελειότερον τῆς ἐκλογῆς ἡ σύνθεσις, Ὅμηρος καὶ Ἡρόδοτος μαρτυρήσει· Ὅμηρος
μὲν ἐν οἷς φησί· 10

Τὼ δ' αὖτ' ἐν κλισίῃσ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
ἐντύνοντ' ἄριστον ἅμ' ἠοῖ κηαμένω πῦρ,
ἐκπέμψαντε νομῆας ἅμ' ἀγρομένοισι σύεσσι.
Τηλέμαχον δὲ περίσαινον κύνες ὑλακόμωροι
οὐδ' ὕλαον προσιόντα. νόησε δὲ δῖος Ὀδυσσεὺς
σαίνοντάς τε κύνας· ὑπὸ δὲ κτύπος ἦλθε ποδοῖιν·
αἶψα δ' ἄρ' Εὔμαιον προσεφώνεεν ἐγγὺς ἐόντα·
Εὔμαι', ἦ μάλα τίς σοι ἐλεύσεται ἐνθάδ' ἑταῖρος,
ἢ καὶ γνώριμος ἄλλος· ἐπεὶ κύνες οὐχ ὑλάουσιν,
ἀλλὰ περισαίνουσι· ποδῶν δ' ὑπὸ δοῦπον ἀκούω.
Οὔπω πᾶν εἴρητο ἔπος, ὅτέ οἱ φίλος υἱὸς
ἔστη ἐπὶ προθύροισι. ταφὼν δ' ἀνόρουσε συβώτης·
ἐκ δ' ἄρα οἱ χειρῶν πέσεν ἄγγεα, τοῖς ἐπονεῖτο 11
κιρνὰς αἴθοπα οἶνον. ὁ δ' ἀντίος ἔδραμ' ἄνακτος·
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ
χεῖράς τ' ἀμφοτέρας· θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.

ταῦτα γὰρ οὐ διὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων τὴν τῆς ἑρμηνείας ἀρετὴν ἔχει· διὰ γὰρ τῶν εὐτελεστάτων καὶ ταπεινοτάτων πέπλεκται, καὶ οἷς ἂν καὶ γεωργὸς καὶ θαλαττουργὸς ἐξ ἑτοίμου ἐχρήσατο. ὅθεν καὶ λυθέντος τοῦ μέτρου φαῦλα φανήσεται καὶ ἄζηλα. οὔτε γὰρ

6—21 continuatos exhibet M 6 δ' αὖ D | κλυσίησ' R κλισί V 7 ἐντύνοντο DR 8 ἐκπέμψαντες V ἐκπέμψοντε D | ἀγρομένῃσι D 10 ὕλακον V 11 ἀπὸ δὲ D | ἤλυθε D 16 ἤρειτο V¹ | ὅτε οἱ M 17 ἀνώρουσε V ἀνούρησε R 18 ἄρά οἱ DR 19 κιρνᾶν V | ἔδραμ(εν) M 20 κύσε M | τε om D 21 χεῖρας τε R 25 λυθέντα V



μεταφοραί τινές εἰσιν εὐγενεῖς ἐν αὐτοῖς οὔτε ὑπαλ-
λαγαὶ οὔτε καταχρήσεις οὔτέ τινα τοιαῦτα. ὁ δὲ
12 Ἡρόδοτος, ἔνθα τὰ περὶ τοῦ Κανδαύλου καὶ τῆς αὐτοῦ
γυναικὸς διέξεισι· πρᾶγμα οὐχ ὅτι σεμνὸν ἢ καλλιλο-
γεῖσθαι δυνάμενον, ἀλλὰ καὶ ταπεινὸν καὶ ἐπικίνδυ-
νον καὶ τοῦ αἰσχροῦ μᾶλλον ἢ τοῦ καλοῦ ἐγγυτέρω·
ἀλλ' εἴρηται σφόδρα δεξιῶς, καὶ κρεῖττον γέγονεν
14 ἀκουσθῆναι λεγόμενον ἢ ὀφθῆναι γινόμενον. καλὴν
δὲ κἀνταῦθα πεποίηκε τὴν φράσιν ἡ συνθήκη, ἀλλ'
οὐχ ἡ σεμνότης τῶν ὀνομάτων· ἀνεπιτήδευτα γάρ ἐστι
καὶ ἀνέκλεκτα, οἷα ἡ φύσις τέθεικε σύμβολα τοῖς
18 πράγμασι. τὸ δὲ αὐτὸ δύναται καὶ ἡ πεζὴ λέξις πα- 4
θεῖν τῇ ἐμμέτρῳ· μενόντων γὰρ τῶν αὐτῶν ὀνομάτων,
ἀλλαττομένης δὲ τῆς συνθέσεως, καταφανὲς τὸ ἐν αὐτῇ
ἄμουσόν τε καὶ ἀκαλλώπιστον· οἷον 'Κροῖσος ἦν Λυδὸς
μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνῶν τῶν
ἐντὸς Ἅλυος ποταμοῦ'. εἰ γὰρ ὑπαλλάξεις, ἔφθαρται ἡ
σύνθεσις· οἷον 'Κροῖσος ἦν Ἀλυάττου μὲν παῖς, γένος
δὲ Λυδός, τύραννος δὲ τῶν ἐντὸς Ἅλυος ποταμοῦ
19 ἐθνῶν'. ὅτι τοίνυν μείζονα ἰσχὺν ἔχει τῆς ἐκλογῆς ἡ
σύνθεσις, φανερόν. καί μοι οὐ δοκεῖ τις ἁμαρτεῖν
εἰκάσας αὐτὴν τῇ Ὁμηρικῇ Ἀθηνᾷ· ἐκείνη τε γὰρ τὸν
Ὀδυσσέα τὸν αὐτὸν ὄντα ἄλλοτε ἀλλοῖον ἐποίει φαί-
20 νεσθαι· τοτὲ μὲν μικρὸν καὶ ῥυσὸν καὶ αἰσχρὸν

πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι,
τοτὲ δὲ τῇ αὐτῇ ῥάβδῳ πάλιν ἐφαψαμένη

1 ἑαυτοῖς R | οὔτε ὑπαγωγαὶ V 3 τὰ περὶ] περὶ R 8 γενόμενον R 9 κἀνταῦθα om D 11 ἀνάλεκτα M 12 δὲ om R 16 μὲν DR: μὲν τὸ MV | ἀλυάττεω DV: ἀλυάττου R ἀλυάτου ut 18 M 19 δὲ post γένος om V 24 μὲν om R | μικρὸν καὶ ῥυσσὸν DR, V²: ῥυσὸν καὶ μικρὸν MV¹

SISMANOGLIO MEGARO

μείζονά τ' εἰσιδέειν καὶ πάσσονα θῆκεν ἰδέσθαι,
καδ δὲ κάρητος
οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.

αὐτή τε τὰ αὐτὰ λαμβάνουσα ὀνόματα τοτὲ μὲν ἄμορφα καὶ ταπεινὰ καὶ πτωχὰ ποιεῖ φαίνεσθαι τὰ νοήματα, τοτὲ δ' ὑψηλὰ καὶ πλούσια καὶ ἁδρὰ καὶ καλά. καὶ τοῦτ' ἦν σχεδὸν ᾧ μάλιστα διαλλάττει ποιητής τε ποιητοῦ καὶ ῥήτωρ ῥήτορος, τὸ συντιθέναι δεξιῶς τὰ ὀνό-
5 ματα. καὶ δὴ καὶ τοῖς ἀρχαίοις πολλὴ πρόνοια τῆς 27
ἰδέας ἦν ταύτης· καὶ οὔτε τὰ ὀνόματα τοῖς ὀνόμασιν οὔτε τὰ κῶλα τοῖς κώλοις οὔτε τὰς περιόδους ἀλλήλαις εἰκῇ συνάπτειν ᾤοντο δεῖν· τέχνη δέ τις ἦν παρ' αὐτοῖς καὶ θεωρήματα, οἷς χρώμενοι συνετίθεσαν εὖ.

6 Δοκεῖ δέ μοι τῆς συνθετικῆς ταύτης ἐπιστήμης τρία εἶναι τὰ ἔργα· ἓν μὲν ἰδεῖν, τί μετὰ τίνος ἁρμοζόμενον πέφυκε καλὴν καὶ ἡδεῖαν λήψεσθαι συζυγίαν· ἕτερον δὲ γνῶναι τῶν ἁρμόττεσθαι μελλόντων πρὸς ἄλληλα πῶς ἂν ἕκαστον σχηματισθὲν κρείττονα ποιήσειε φαίνεσθαι τὴν ἁρμονίαν· τρίτον δέ, τί δεῖται μετασκευῆς τῶν λαμβανομένων· ἀφαιρέσεως λέγω καὶ προσθέσεως καὶ ἀλλοιώσεως· ὥσπερ που καὶ οἰκοδόμος 28
ὕλην παραλαβὼν τρία πραγματεύεται ταῦτα· ποίῳ δεῖ λίθῳ τε καὶ ξύλῳ καὶ πλίνθῳ ποῖον ἁρμόσαι λίθον ἢ ξύλον ἢ πλίνθον· ἔπειτα πῶς τῶν ἁρμοζομένων ἕκαστον καὶ ἐπὶ ποίας πλευρᾶς ἑδράσαι· καὶ τρίτον, εἴ τι δύσεδρόν ἐστιν, ἀποκροῦσαι καὶ περικόψαι, καὶ τὸ αὐτὸ τοῦτο εὔεδρον ποιῆσαι. δεῖ τοίνυν πρῶτον μὲν σκοπεῖν, ποῖον ὄνομα ἢ ῥῆμα ἢ τῶν ἄλλων τι μορίων

4 αὐτή τε R | τὰ ὀνόματα R 6 πότε D | δὲ R 8 τὸ] τῷ D 11 οὔτε γὰρ τὰ κῶλα D 22 δὴ V 23 λίθον ἢ om D 24 πῶς] πρὸς MV | ἁρμοζόντων V



ποίῳ συνταχθὲν ἐπιτηδείως ἔσται κείμενον, καὶ πῶς οὐκ ἄμεινον· οὐ γὰρ δὴ πάντα γε μετὰ πάντων τιθέμενα πέφυκεν ὁμοίως διατιθέναι τὰς ἀκοάς· ἔπειτα διακρίνειν, πῶς σχηματισθὲν τοὔνομα ἢ τὸ ῥῆμα ἢ τῶν ἄλλων ὁτιδήποτε χαριέστερον ἱδρυνθήσεται καὶ
29 πρὸς τὰ ὑποκείμενα πρεπωδέστερον· λέγω δὲ ἐπὶ μὲν τῶν ὀνομάτων, πότερον ἑνικῶς ἢ πληθυντικῶς λαμβανόμενα κρείττονα λήψεται συζυγίαν· καὶ πότερα κατὰ τὴν ὀρθὴν ἐκφερόμενα πτῶσιν ἢ κατὰ τῶν πλαγίων τινά· καὶ εἴ τινα πέφυκεν ἐξ ἀρρένων γίνεσθαι θηλυκὰ ἢ ἐκ θηλυκῶν ἀρρενικὰ ἢ οὐδέτερα ἐκ τούτων, πῶς ἂν ἄμεινον σχηματισθείη· καὶ πάντα τὰ τοιαῦτα. ἐπί τε τῶν ῥημάτων, πότερα κρείττω ἔσται λαμβανόμενα, τὰ ὀρθὰ ἢ τὰ ὕπτια· καὶ κατὰ ποίας ἐγκλίσεις ἐκφερόμενα κρατίστην ἕδραν λήψεται· καὶ ποίας παρεμφαίνοντα διαφορὰς χρόνων, καὶ εἴ τινα τοῖς ῥήμασιν ἄλλα παρακολουθεῖ. τὰ δ' αὐτὰ λέγω καὶ ἐπὶ τῶν ἄλλων τοῦ λόγου μερῶν. ἐπὶ δὲ τούτοις τὰ ληφθέντα διακρίνειν, εἴ τι δεῖται μετασκευῆς ὄνομα ἢ ῥῆμα, ὡς ἂν ἐναρμονιώτερόν τε καὶ εὐεδρότερον γένοιτο. τοῦτο τὸ στοιχεῖον ἐν μὲν ποιητικῇ δαψιλέστερόν ἐστιν, ἐν δὲ λόγοις πεζοῖς σπανιώτερον· πλὴν γίνεται καὶ ἐν τούτοις, ἐφ' ὅσον ἂν ἐγχωρῇ. ὅ τε γὰρ λέγων ‘εἰς τουτονὶ τὸν ἀγῶνα’ προστέθεικέ τι τῇ ἀντωνυμίᾳ γράμμα, τῆς συνθέσεως στοχαζόμενος· ἄρτιον γὰρ ἦν
30 ‘εἰς τοῦτον τὸν ἀγῶνα’ εἰπεῖν. καὶ πάλιν ὁ λέγων ‘κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτήν’ τῇ προθέσει

1 ποίῳ] ποῖον R 2 πάντά γε MV: πάντα DR 4 ἀνακρίνειν D 7 πότερον ἢ ἑνικῶς ἢ V 16 χρόνων· ἢ τίνα R 20 ἐναρμόνιόν τε καὶ ἁδρότατον D 24 προστέθηκέ sic V προτέθεικε R

παρήυξηκε τοὔνομα· τὸ γὰρ Ἰδὼν ἀπέχρη. καὶ ὁ γρά-
φων 'μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεχ' ἥκειν' ταῖς
συναλοιφαῖς ἠλάττωκε τὰ μόρια τοῦ λόγου καὶ περι-
κέκρουκε τινὰ τῶν γραμμάτων· καὶ ὁ ἀντὶ τοῦ Ἐποί-
ησεν Ἐποίησε λέγων χωρὶς τοῦ $\overline{ν}$, καὶ Ἀφαιρήσομαι
ἀντὶ τοῦ Ἀφαιρεθήσομαι, καὶ πάντα τὰ τοιαῦτα· ὅ τ'
Ἐχωροφίλησε λέγων τὸ Ἐφιλοχώρησε καὶ Λελύσεται
τὸ Λυθήσεται καὶ τὰ τοιουτότροπα μετασκευάζει τὰς
λέξεις, ἵν' αὐτῷ γένοιντο ἁρμοσθῆναι καλλίονες καὶ
ἐπιτηδειότεραι.

7 Μία μὲν δὴ θεωρία τῆς συνθετικῆς ἐπιστήμης ἡ
περὶ αὐτὰ τὰ πρῶτα μόρια καὶ τὰ στοιχεῖα τῆς λέξεως
ἥδε· ἑτέρα δὲ ἡ περὶ τὰ κῶλα, ποικιλωτέρας δεομένη
πραγματείας καὶ μείζονος· καὶ γὰρ ταῦτα ἁρμόσαι πρὸς
ἄλληλα δεῖ, ὥςτε οἰκεῖα φαίνεσθαι καὶ φίλα· καὶ σχη- 31
ματίσαι ὡς ἂν ἐνδέχηται κράτιστα, προκατασκευάσαι
τε εἴ πού τι δέοι μειώσει καὶ πλεονασμῷ καὶ εἰ δή
τινι ἄλλῃ κατασκευῇ. τούτων δ' ἕκαστα ἡ πεῖρα αὐτὴ
διδάσκει· πολλάκις γὰρ τουτὶ τὸ κῶλον τούτου μὲν
προτεθὲν ἢ ἐπὶ τούτῳ τεθὲν εὐστομίαν τινὰ ἐμφαίνει
καὶ σεμνότητα, ἑτέραν δέ τινα συζυγίαν λαβὸν ἄχαρι
φαίνεται καὶ ἄσεμνον· οἷον τὸ τοῦ Θουκυδίδου 'ἡμεῖς
τε, ὦ Λακεδαιμόνιοι, ἡμῶν ἡ ἐλπίς, δεδίαμεν, μὴ οὐ
βέβαιοι ἦτε' εἴ τις μεθαρμόσας οὕτως ἐρεῖ 'ἡμεῖς τε,

1 παρηύξηκε DV: παρηύξησε MR | τοὔνομα] τὸ ῥῆμα R 3 ἠλάττωκε DMR²: ἠλάττωσε R¹V | μόρια] μέρη D | παρακέκρουκε D 4 γραμμά[τ]ων c lit II litterarum V | ἐποίησεν om R 5 τοῦ νῦ D 6 ὅ τ'] καὶ ὅ τε D 7 λέγων τὸ] λ. ἀντὶ τοῦ D 11 θεωρία om M 13 ποικιλοτέρας R | δεομ. καὶ μείζονος πραγματείας M 15 δεῖ ante πρὸς D | φανῆναι R 17 τι δεῖ M | σημειώσει D 18 αὐτὴ] αὐτῶν D 19 πολλάκι D | γὰρ] μὲν γὰρ R 20 ἢ . . . τεθὲν om D 21 δέ τινα] δὲ R 22 τὸ τοῦ] τὸ DR 22 et 24 ὑμεῖς D

SISMANOGLIO MEGARO



ὦ Λακεδαιμόνιοι, δεδίαμεν, μὴ οὐ βέβαιοι ἦτε, ἡμῶν
ἡ ἐλπίς', οὐ τὴν αὐτὴν χάριν ἢ τὸ αὐτὸ πάθος φυ-
λάξει· καὶ τὸ τοῦ Δημοσθένους 'τὸ λαβεῖν οὖν τὰ
διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων
32 ἀποδοῦναι παρανόμων γράφῃ' εἴ τις μεταθεὶς ἐρεῖ
'ὁμολογῶν οὖν ἔννομον εἶναι τὸ λαβεῖν τὰ διδόμενα,
παρανόμων γράφῃ τὸ τούτων χάριν ἀποδοῦναι', οὐχ
ὁμοίως ἔσται δικανικὴ καὶ στρογγύλη ἡ περίοδος.

Ἡ μὲν δὴ περὶ τὴν ἁρμογὴν τῶν κώλων θεωρία 8
τοιαύτη· ἡ δὲ περὶ τὸν σχηματισμὸν ποταπή; οὐκ ἔστιν
εἷς τρόπος τῆς ἐκφορᾶς ἁπάντων τῶν νοημάτων, ἀλλὰ
τὰ μὲν ὡς ἀποφαινόμενοι λέγομεν, τὰ δ' ὡς πυνθανό-
μενοι, τὰ δ' ὡς εὐχόμενοι, τὰ δ' ὡς ἐπιτάττοντες, τὰ
δ' ὡς διαποροῦντες, τὰ δ' ὡς ὑποτιθέμενοι, τὰ δὲ
ἄλλως πως σχηματίζοντες· οἷς ἀκολούθως καὶ τὴν λέ-
ξιν πειρώμεθα σχηματίζειν. πολλοὶ δὲ δή που σχημα-
τισμοὶ καὶ τῆς λέξεως εἰσίν, ὥςπερ καὶ τῆς διανοίας·
οὓς οὐχ οἷόν τε κεφαλαιωδῶς περιλαβεῖν. οὐ γὰρ δὴ
τὸ αὐτὸ δύναται ποιεῖν τὸ αὐτὸ κῶλον οὕτω σχημα-
τισθὲν ἢ οὕτως. ἐρῶ δὲ ἐπὶ παραδείγματος· εἰ τοῦτον
ἐξήνεγκε τὸν τρόπον ὁ Δημοσθένης τὴν λέξιν ταύτην
'ταῦτ' εἴπας ἔγραψα· γράψας δὲ ἐπρέσβευσα· πρεσβεύ-
σας δὲ ἔπεισα Θηβαίους', ἆρ' οὕτως ἂν συνέκειτο
33 χαριέντως, ὡς νῦν σύγκειται 'καὶ οὐκ εἶπον μὲν ταῦτα,
οὐκ ἔγραψα δέ· οὐδὲ ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ·
οὐδὲ ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους';

9 περὶ] πρὸς M 10 τῶν σχηματισμῶν V | ποδαπὴ V 11 ἐκφορᾶς] προφορᾶς M 14 ἀποροῦντες R 21 ἐξήνεγκεν post τρόπον traicit M | ὁ om MV 22 εἴπας V: εἰπὼν ceteri 23 δ' ἔπεισα D 24 ταῦτα] οὕτως V 25 οὐδὲ . . . ἐπρέσβευσα δέ om D

9 Ἀλλὰ μὴν ὅτι γε καὶ μετασκευὰς δέχεται τῶν κώλων ἔνια, τοτὲ μὲν προσθήκας λαμβάνοντα οὐκ ἀναγκαίας ὡς πρὸς τὸν νοῦν, τοτὲ δὲ ἀφαιρέσεις ἀτελῆ ποιούσας τὴν διάνοιαν ἕνεκα τοῦ τὴν ἁρμονίαν ἡδεῖαν καὶ καλὴν γενέσθαι, φανερόν. τίς γὰρ οὐκ ἂν ὁμολογήσειεν ἐν τῷ τοῦ Δημοσθένους τῷ ‘ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ’ οὐχὶ τοῦ ἀναγκαίου χάριν προσκεῖσθαι τὸ ‘μηδὲ τοξεύῃ’, ἀλλ’ ἵνα τὸ τελευταῖον κῶλον τὸ ‘κἂν μήπω βάλλῃ’ τραχύτερον τοῦ δέοντος ὂν καὶ οὐχ ἡδὺ ἀκουσθῆναι τῇ προσθήκῃ ταύτῃ γένηται χαριέστερον; καὶ ἔτι ἐν τῷ ἐπιταφίῳ τοῦ Πλάτωνος, ἔνθα φησίν· ‘ἔργων 34 γὰρ εὖ πραχθέντων λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ κόσμος γίνεται τοῖς πράξασι παρὰ τῶν ἀκουσάντων’· ἐνταῦθα γὰρ τὸ ‘παρὰ τῶν ἀκουσάντων’ παραπλήρωμα τῆς λέξεως πρὸς οὐδὲν ἀναγκαῖον λέγεται, ἀλλ’ ἵνα τὸ τελευταῖον κῶλον ‘τοῖς πράξασι’ πάρισόν τε καὶ ἐφάμιλλον τοῖς πρὸ αὐτοῦ γένηται. καὶ δὴ καὶ τὸ τοῦ Αἰσχίνου ‘ἐπὶ σεαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς’, τρίκωλον πάνυ ἐπαινούμενον, τῆς αὐτῆς ἰδέας ἔχεται· ὃ γὰρ οἷόν τε ἦν ἑνὶ κώλῳ περιληφθῆναι τόνδε τὸν τρόπον ‘ἐπὶ σεαυτὸν καὶ τοὺς νόμους καὶ τὴν δημοκρατίαν καλεῖς’, τοῦτο εἰς τρία διῄρηται. τῆς μὲν δὴ προσθέσεως ἐν τοῖς κώλοις οὗτος ὁ τρόπος· τῆς δὲ ἀφαιρέσεως, ὅταν τῶν ἀναγκαίων τι λεχθῆναι λυπεῖν μέλλῃ καὶ διοχλεῖν τὴν

9 τὸ μηδὲ] τὸ μὴ V 14 γὰρ] μὲν γὰρ R 16 ἐνταῦθα . . . ἀκουσάντων om DR 18 πράγμασι D 25 διῄρηται ex διεῖλεν corr R | προθέσεως RV



ἀκρόασιν, ἀφαιρεθὲν χαριεστέραν ποιεῖ τὴν ἁρμονίαν· οἷά ἐστιν ἐν μὲν τοῖς μέτροις τὰ Σοφόκλεια ταυτί·

35 Μύω τε καὶ δέδορκα κἀξανίσταμαι,
πλέον φυλάσσων αὐτὸς ἢ φυλάσσομαι·

ἐνταυθοῖ γὰρ ὁ δεύτερος στίχος ἐκ δυεῖν σύγκειται κώλων οὐχ ὅλων· τελεία γὰρ ἡ λέξις ἦν οὕτως ἐξενεχθεῖσα· ‘πλεῖον φυλάσσων αὐτὸς ἑτέρους ἢ φυλασσόμενος ὑφ’ ἑτέρων’· τὸ δὲ μέτρον ἠδικεῖτο, καὶ οὐκ ἂν ἔσχεν ἣν νυνὶ χάριν ἔχει. ἐν δὲ τοῖς πεζοῖς λόγοις τὰ τοιαῦτα· ‘ἐγὼ δ’ ὅτι μέν τινων κατηγοροῦντα πάντας ἀφαιρεῖσθαι τὴν ἀτέλειαν τῶν ἀδίκων ἐστίν, ἐάσω’· μεμείωται γὰρ κἀνταῦθα τῶν πρώτων δυεῖν κώλων ἑκάτερον· αὐτοτελῆ δὲ ἂν ἦν, εἴ τις αὐτὰ οὕτως ἐξήνεγκεν· ‘ἐγὼ δ’ ὅτι μέν τινων κατηγοροῦντα ὡς οὐκ ἐπιτήδειοι ἔχειν τὴν ἀτέλειαν, πάντας ἀφαιρεῖσθαι καὶ τοὺς δικαίως αὐτῆς τυχόντας τῶν ἀδίκων ἐστίν, ἐάσω’· ἀλλ’ οὐκ ἐδόκει τῷ Δημοσθένει πλείονα ποιεῖσθαι πρόνοιαν τῆς ἀκριβείας τῶν κώλων ἢ τῆς εὐρυθμίας.

Τὰ δ’ αὐτὰ εἰρήσθω μοι καὶ περὶ τῶν καλουμένων περιόδων· καὶ γὰρ ταύτας χρὴ ταῖς τε προηγουμέναις καὶ ταῖς ἑπομέναις οἰκείως συναρμόττειν, ὅταν ἐν περι- 36 όδοις προσήκῃ τὸν λόγον ἐκφέρειν. οὐ γὰρ δὴ πανταχῇ γε τὸ ἐμπερίοδον χρήσιμον.

Διωρισμένων δὴ τούτων, ἀκόλουθον ἂν εἴη λέγειν, 10 τίνα ἐστὶν ὧν δεῖ στοχάζεσθαι τὸν βουλόμενον συντιθέναι τὴν λέξιν εὖ, καὶ διὰ τίνων θεωρημάτων τυγχά-

1 ποιῇ V 2 οἷον R | μὲν om R 4 πλεῖον D 5 γὰρ] δὲ V | δυοῖν RV 9 νῦν D 11 ἀτέλειαν] δωρεὰν M 12 δυοῖν RV 17 ἐδόκει] ἔδωκε M 20 τε om R 21 περιόδοις] ἐπιλόγοις D 22 δὴ] δεῖ R om D 24 δὴ] δὲ M 26 τυγχανει $V^1$

νοι τις ὧν ἂν βούληται. δοκεῖ δή μοι δύο ταῦτ' εἶναι
γενικώτατα ὧν ἐφίεσθαι δεῖ τοὺς συντιθέντας μέτρα
τε καὶ λόγους, ἥ τε ἡδονὴ καὶ τὸ καλόν· ἀμφότερα
γὰρ ἐπιζητεῖ ταῦτα ἡ ἀκοή, ὅμοιόν τι πάσχουσα τῇ
ὁράσει· καὶ γὰρ ἐκείνη πλάσματα καὶ γραφὰς καὶ γλυ-
φὰς ὁρῶσα, ὅταν εὑρίσκῃ ταῦτα ἐν αὐτοῖς, ἀρκεῖται
καὶ οὐδὲν ἔτι ποθεῖ. καὶ παράδοξον οὐδέν, εἰ δύο
ποιῶ τέλη καὶ χωρίζω τὸ καλὸν ἀπὸ τῆς ἡδονῆς, καὶ
ἡγοῦμαί τινα λέξιν ἡδέως μὲν συγκεῖσθαι, μὴ καλῶς
δέ, ἢ καλῶς μέν, οὐ μὴν καὶ ἡδέως. ἡ γάρ τοι Θου-
κυδίδου λέξις καὶ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου καλῶς
μὲν σύγκειται νὴ Δία· οὐ μὴν ἡδέως γε πάνυ· ἡ δέ 37
γε τοῦ Κνιδίου Κτησίου καὶ ἡ τοῦ Σωκρατικοῦ Ξενο-
φῶντος ἡδέως μέν, οὐ μὴν καλῶς γε ἐφ' ὅσον ἔδει·
λέγω δὲ κοινότερον, ἀλλ' οὐχὶ καθάπαξ· ἐπεὶ καὶ παρ'
ἐκείνοις ἥρμοσταί τινα ἡδέως, ὡς καὶ παρὰ τούτοις
καλῶς. ἡ δὲ Ἡροδότου σύνθεσις ἀμφότερα ταῦτα ἔχει·
καὶ γὰρ ἡδεῖά ἐστι καὶ καλή.

11 Ἐξ ὧν δ' οἶμαι γενέσθαι λέξιν ἡδεῖαν καὶ καλήν,
τέτταρά ἐστι τὰ κυριώτατα· μέλος καὶ ῥυθμὸς καὶ
μεταβολὴ καὶ τὸ παρακολουθοῦν τοῖς τρισὶ τούτοις, τὸ
πρέπον. τάττω δὲ ὑπὸ μὲν τὴν ἡδονὴν τήν τε ὥραν
καὶ τὴν χάριν καὶ τὴν εὐστομίαν καὶ τὴν γλυκύτητα
καὶ τὸ πιθανὸν καὶ πάντα τὰ τοιαῦτα· ὑπὸ δὲ τὸ
καλὸν τήν τε μεγαλοπρέπειαν καὶ τὸ βάρος καὶ τὴν
σεμνολογίαν καὶ τὸ ἀξίωμα καὶ τὸ πιθανὸν καὶ τὰ
τούτοις ὅμοια.

1 ἂν om V | δή] δέ D om R 4 ταῦτα ἐπιζητεῖ R 6 ἑαυτοῖς R 10 τοι] τοι τοῦ R 13 κτησία R 14 οὐ καλῶς δὲ ἐφ' D 20s καὶ μεταβολὴ om R 25 τήν τε] τὴν R 26 καὶ τὸ πιθανόν om M

SISMANOGLIO MEGARO



38 Ἥδεται δὲ ἡ ἀκοὴ τοῖς τέτρασι τούτοις· τίς γάρ
ἐστιν, ὃς οὐχ ὑπὸ μὲν ταύτης τῆς μελῳδίας ἄγεται καὶ
γοητεύεται, ὑφ' ἑτέρας δέ τινος οὐδὲν πάσχει τοιοῦτον;
καὶ ὑπὸ μὲν τῶν ῥυθμῶν τούτων οἰκειοῦται, ὑπὸ τού-
39 των δὲ διοχλεῖται; τὸ δ' αὐτὸ συμβαίνει καὶ ἐν μετα-
40 βολαῖς καὶ τῷ πρέποντι· τίς γὰρ οὐκ ἂν ὁμολογήσειεν
ὅτι καὶ τῆς ὀργανικῆς μούσης καὶ τῆς ἐν ᾠδῇ καὶ τῆς
ἐν ὀρχήσει χάριτος ἐν ἅπασι μὲν εὐστοχούσης, μετα-
βολὰς δὲ μὴ ποιησαμένης εὐκαίρους ἢ τοῦ πρέποντος
ἀποπλανηθείσης βαρὺς μὲν ὁ κόρος, ἀηδὲς δὲ τὸ μὴ
τοῖς ὑποκειμένοις ἁρμόττον φαίνεται; καὶ οὐκ ἀλλο-
τρίᾳ κέχρημαι τοῦ πράγματος εἰκόνι· μουσικὴ γάρ τις
ἦν καὶ ἡ τῶν πολιτικῶν λόγων ἐπιστήμη, τῷ ποσῷ
διαλλάττουσα τῆς ἐν ᾠδαῖς καὶ ὀργάνοις· καὶ γὰρ ἐν
ταύτῃ καὶ μέλος ἔχουσιν αἱ λέξεις καὶ ῥυθμοὺς καὶ
μεταβολὴν καὶ πρέπον· ὥστε καὶ ἐπὶ ταύτης ἡ ἀκοὴ
τέρπεται μὲν τοῖς μέλεσιν, ἄγεται δὲ τοῖς ῥυθμοῖς,
ἀσπάζεται δὲ τὰς μεταβολάς, ποθεῖ δ' ἐπὶ πάντων τὸ
οἰκεῖον· ἡ δὲ διαλλαγὴ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον.

Διαλέκτου μὲν οὖν μέλος ἑνὶ μετρεῖται διαστήματι
τῷ λεγομένῳ διὰ πέντε ὡς ἔγγιστα· καὶ οὔτε ἐπιτείνε-
ται πέρα τριῶν τόνων καὶ ἡμιτονίου ἐπὶ τὸ ὀξύ, οὔτε
41 ἀνίεται τοῦ χωρίου τούτου πλέον ἐπὶ τὸ βαρύ. οὐ μὴν
ἅπασα λέξις ἡ καθ' ἓν μόριον λόγου ταττομένη ἐπὶ
τῆς αὐτῆς λέγεται τάσεως, ἀλλ' ἣ μὲν ἐπὶ τῆς ὀξείας,
ἣ δ' ἐπὶ τῆς βαρείας, αἳ δ' ἐπ' ἀμφοῖν. τῶν δὲ ἀμφο-
τέρας τὰς τάσεις ἐχουσῶν αἳ μὲν κατὰ μίαν συλλαβὴν

1 δὲ] δὴ V 5 ἐν] ἐν ταῖς V 10 ἀηδὲς V: ἀηδὴς DMR | τὸ] τῷ M 11 ἁρμόττων φαίνεσθαι M 14 δὲ ἀλλάττουσα R 15 ῥυθμοὺς] ῥυθμὸν M 18 δὲ ἐπὶ M 19 δὲ ἀλλαγὴ R | τὸ post καὶ om R¹V 20 οὖν om MR 22 τριῶν] τῶν τριῶν D 24 ἡ] ἢ R 25 ἀλλ' V

συνδιεφθαρμένον ἔχουσι τῷ ὀξεῖ τὸ βαρύ, ἃς δὴ περισπωμένας καλοῦμεν· αἳ δὲ ἐν ἑτέρᾳ καὶ ἑτέρᾳ χωρὶς ἑκάτερον ἐφ' ἑαυτοῦ τὴν οἰκείαν φυλάττον φύσιν· καὶ ταῖς μὲν δισυλλάβοις οὐδὲν τὸ διὰ μέσου χωρίον βαρύτητός τε καὶ ὀξύτητος· ταῖς δὲ πολυσυλλάβοις, ἡλίκαι ἂν ὦσιν, ἡ τὸν ὀξὺν τόνον ἔχουσα μία ἐν πολλαῖς ταῖς ἄλλαις βαρείαις ἔνεστιν. ἡ δὲ ὀργανική τε καὶ ᾠδικὴ μοῦσα διαστήμασί τε χρῆται πλείοσιν, οὐ τῷ διὰ πέντε μόνον, ἀλλ' ἀπὸ τοῦ διὰ πασῶν ἀρξαμένη καὶ τὸ διὰ πέντε μελῳδεῖ καὶ τὸ διὰ τεττάρων καὶ τὸ διάτονον καὶ τὸ ἡμιτόνιον, ὡς δέ τινες οἴονται, καὶ τὴν δίεσιν αἰσθητῶς· τάς τε λέξεις τοῖς μέλεσιν ὑποτάττειν ἀξιοῖ, καὶ οὐ τὰ μέλη ταῖς λέξεσιν, ὡς ἐξ ἄλλων τε πολλῶν δῆλον καὶ μάλιστα ἐκ τῶν Εὐριπίδου μελῶν, ἃ πεποίηκε τὴν Ἠλέκτραν λέγουσαν ἐν Ὀρέστῃ πρὸς τὸν χορόν·

Σίγα, σίγα· λευκὸν ἴχνος ἀρβύλης 42
τιθεῖτε, μὴ κτυπεῖτε·
ἄπο πρόβατ' ἐκεῖσ' ἄπο πρό μοι κοίτας·

ἐν γὰρ δὴ τούτοις τὸ 'σίγα, σίγα· λευκὸν' ἐφ' ἑνὸς φθόγγου μελῳδεῖται, καίτοι τῶν τριῶν λέξεων ἑκάστη βαρείας τε τάσεις ἔχει καὶ ὀξείας· καὶ τὸ 'ἀρβύλης' τῇ μέσῃ συλλαβῇ τὴν τρίτην ὁμότονον ἔχει, ἀμηχάνου ὄντος ἓν ὄνομα δύο λαβεῖν ὀξείας· καὶ τοῦ 'τιθεῖτε' βαρυτέρα μὲν ἡ πρώτη γίνεται, δύο δὲ μετὰ ταύτην

1 συνδιεφθαρμένον] συνυφασμένον mg D 3 ἐφ' ἑαυτοῦ om M | τὴν] τὸ D 4 χωρίον V 5 τε om D 6 τὸν ὀξύτονον DV 8 τε χρῆται] χρῆται M | οὐ] ἐν D 9 μόνον . . . 10 πέντε om D | ἀλλὰ R 12 τὴν δίεσιν DV: τὴν δέησιν M δίεσιν R 15 ἄγουσαν R 17 σῖγα· σῖγα DR ut l 20 19 ἄπο] ἀλλὰ D | προβάτ' M | ἀπόπρο μοι D 20 ἐν] καὶ M | ἐφ'] ὑφ' M 22 στάσεις R 23 ἀμηχάνον D¹ 24 λαμβάνειν R



ὀξύτονοί τε καὶ ὁμόφωνοι· τοῦ τε 'κτυπεῖτε' ὁ περισπασμὸς ἠφάνισται· μιᾷ γὰρ αἱ δύο συλλαβαὶ λέγονται τάσει· καὶ τὸ 'ἄπο πρόβατε' οὐ λαμβάνει τὴν τῆς μέσης συλλαβῆς προσῳδίαν ὀξεῖαν, ἀλλ' ἐπὶ τὴν τετάρτην συλλαβὴν μεταβέβηκεν ἡ τάσις ἡ τῆς τρίτης. τὸ δ' αὐτὸ γίνεται καὶ περὶ τοὺς ῥυθμούς· ἡ μὲν γὰρ πεζὴ λέξις οὐδενὸς οὔτε ὀνόματος οὔτε ῥήματος βιάζεται τοὺς χρόνους οὔτε μετατίθησιν, ἀλλ' οἵας παρείληφε τῇ φύσει τὰς συλλαβὰς τάς τε μακρὰς καὶ τὰς βραχείας, τοιαύτας φυλάττει· ἡ δὲ μουσική τε καὶ ῥυθμικὴ μεταβάλλουσιν αὐτὰς μειοῦσαι καὶ παραύξου-
43 σαι, ὥστε πολλάκις εἰς τἀναντία μεταχωρεῖν· οὐ γὰρ ταῖς συλλαβαῖς ἀπευθύνουσι τοὺς χρόνους, ἀλλὰ τοῖς χρόνοις τὰς συλλαβάς. καὶ ταῦτα μὲν οὕτως· πῶς δ' ἂν γένοιτο λέξις πολιτικὴ παρ' αὐτὴν τὴν σύνθεσιν ἡδύνουσα τὴν ἀκρόασιν κατὰ τὰ προρρηθέντα τέτταρα κεφάλαια, γνοίημεν ἂν οὕτως.

Οὐχ ἅπαντα πέφυκε τὰ μέρη τῆς λέξεως ὁμοίως 12
διατιθέναι τὴν ἀκοήν, ὥσπερ οὐδὲ τὴν γευστικὴν τὰ γευστὰ οὐδὲ τὰς ἄλλας αἰσθήσεις τὰ κινοῦντα ἑκάστην· ἀλλὰ καὶ γλυκαίνουσιν αὐτὴν τινὲς ἦχοι καὶ πικραί-
44 νουσι, καὶ τραχύνουσι καὶ λεαίνουσι, καὶ πολλὰ ἄλλα πάθη ποιοῦσι περὶ αὐτήν· αἰτία δὲ ἡ τῶν γραμμάτων φύσις, ἐξ ὧν ἡ φωνὴ συνέστηκε, πολλὰς καὶ διαφόρους ἔχουσα δυνάμεις, καὶ ἡ τῶν συλλαβῶν πλοκὴ παντοδαπῶς σχηματιζομένη. τοιαύτην δὲ ἤδη δύναμιν ἐχόντων τῶν τῆς λέξεως μορίων, ἐπειδὴ μεταθεῖναι τὴν

1 τοῦ τ' ἐκτυπεῖτε V 4 ὀξείαν D 16 τέτταρα om R 19 τὴν γεῦσιν M | τὰ γευστικὰ D 21 τινὲς αὐτὴν D τὴν αὐτὴν τινὲς R 23 γραμμάτων] πραγμάτων M 26 ἐσχηματισμένη mg D 27 μορίων] χωρίων D

SISMANOGLIO MEGARO

ἑκάστου φύσιν οὐχ οἷόν τε, λείπεται τὸ τῇ μίξει καὶ
κράσει καὶ παραθέσει συγκρύπτειν τὴν παρακολου-
θοῦσαν αὐτῶν τισιν ἀτοπίαν, τραχέσι λεῖα μίσγοντα
καὶ σκληροῖς μαλακὰ καὶ κακοφώνοις εὔφωνα καὶ δυσ-
εκφόροις εὐπρόφορα καὶ βραχέσι μακρὰ καὶ τἆλλα
τὸν αὐτὸν τρόπον εὐκαίρως συντιθέντα, καὶ μήτ᾽ ὀλι-
γοσύλλαβα πολλὰ ἑξῆς λαμβάνοντα (κόπτεται γὰρ ἡ
ἀκρόασις), μήτε πολυσύλλαβα πλείω τῶν ἱκανῶν, μηδὲ
ὁμοιότονα παρ᾽ ὁμοιοτόνοις, μηδὲ ὁμοιόχρονα παρ᾽
ὁμοιοχρόνοις. χρὴ δὲ καὶ τὰς πτώσεις τῶν ὀνοματι-
κῶν ταχὺ μεταλαμβάνειν· καὶ τὴν ὁμοιότητα διαλύειν
συνεχῶς, ὀνομάτων τε τινῶν ἑξῆς τιθεμένων πολλῶν
καὶ ῥημάτων καὶ ἄλλων μερῶν τὸν κόρον φυλασσομέ-
νους· σχήμασί τε μὴ ἐπὶ τοῖς αὐτοῖς ἀεὶ μένειν, μηδὲ 45
τρόπους τοὺς αὐτοὺς ἐπιφέρειν, μηδὲ ἄρχεσθαι πολ-
λάκις ἀπὸ τῶν αὐτῶν μηδὲ λήγειν ἐς τὰ αὐτά.

Καὶ μηδεὶς οἰηθῇ με καθάπαξ ταῦτα παραγγέλλειν,
ὡς ἡδονῆς αἴτια διαπαντὸς ἐσόμενα ἢ τἀναντία ὀχλή-
σεως· οὐχ οὕτως ἀνόητός εἰμι. οἶδα γὰρ ἐξ ἀμφοῖν
γινομένην πολλάκις ἡδονήν, τοτὲ μὲν ἐκ τῶν ὁμοιο-
γενῶν, τοτὲ δὲ ἐκ τῶν ἀνομοιογενῶν. ἀλλ᾽ ἐπὶ πάν-
των οἴομαι δεῖν τὸν καιρὸν ὁρᾶν· οὗτος γὰρ ἡδονῆς
καὶ ἀηδίας κράτιστον μέτρον· ὃς οὐκ ἔστι θηρατὸς
ἐπιστήμῃ, ἀλλὰ δόξῃ.

Φημὶ δὴ τὸν μέλλοντα διαθήσειν τὴν ἀκοὴν ἡδέως 46
ἢ τὰ ἐμμελῆ καὶ εὔρυθμα καὶ εὔφωνα ὀνόματα, ὑφ᾽
ὧν γλυκαίνεται ἡ αἴσθησις, ἀλλήλοις συναρμόττειν, ἢ

1 τὸ om D 3 σμίγοντα D 4 μαλακὰς V¹ 5 εὐπρό-
φορα sscr σιτα (εὐπρόσιτα) D 10 ὀνομαστικῶν MV ὀνομάτων
D 11 μεταβάλλειν DR 12 τε RV: om DM 16 ἀπὸ]
ἐπὶ V | λέγειν R | εἰς D 25 δὴ] δὲ V 26 εὐμελῆ RV



τὰ μὴ τοιαῦτα ἐγκαταπλέκειν αὐτοῖς· ὥσπερ καὶ στρα-
τηγοὶ τὰ ἀσθενῆ τοῖς ἰσχυροῖς ἐπικρύπτουσι καὶ γίνε-
ται αὐτοῖς οὐδὲν τῆς δυνάμεως ἄχρηστον. διαναπαύειν
δὲ τὴν ταὐτότητα φημὶ δεῖν, μεταβολὰς εὐκαίρους
εἰσφέροντα· μεταβολὴ γὰρ πάντων ἡδύ. τελευταῖον δὲ
ὃ καὶ πάντων κράτιστον, οἰκείαν ἀποδιδόναι τοῖς ὑπο-
κειμένοις καὶ πρέπουσαν ἁρμονίαν· δυσωπεῖσθαι δ᾽
οὐδὲν οἴομαι δεῖν οὔτε ὄνομα οὔτε ῥῆμα ὅ τι καὶ τέ-
τριπται, μὴ σὺν αἰσχύνῃ λέγεσθαι μέλλον· οὐδὲν γὰρ
οὕτω ταπεινὸν ἢ ῥυπαρὸν ἢ ἄλλην τινὰ δυσχέρειαν
ἔχον ἔσεσθαι φημὶ λόγου μόριον, ᾧ σημαίνεταί τι
47 σῶμα ἢ πρᾶγμα, ὃ μηδεμίαν ἕξει χώραν ἐπιτηδείαν ἐν
λόγοις. παρακελεύομαι δὲ τῇ συνθέσει πιστεύοντας ἀν-
δρείως πάνυ καὶ τεθαρρηκότως αὐτὰ ἐκφέρειν, Ὁμήρῳ
τε παραδείγματι χρωμένους, παρ᾽ ᾧ καὶ τὰ εὐτελέστατα
κεῖται τῶν ὀνομάτων, καὶ Δημοσθένει καὶ Ἡροδότῳ
καὶ τοῖς ἄλλοις. καὶ περὶ μὲν ἡδείας συνθέσεως
ταῦτα.

Καλὴ δ᾽ ἐκ τίνων γίνεται εἴ τις ἔροιτο, ἐκ τῶν 13
αὐτῶν ἂν φαίην καὶ οὐχ ἑτέρων· τὰ γὰρ αὐτὰ ποιη-
τικὰ ἀμφοῖν· μέλος εὐγενές, ῥυθμὸς ἀξιωματικός, μετα-
βολὴ μεγαλοπρεπής, τὸ πᾶσι τούτοις παρακολουθοῦν
πρέπον· αἰτία δὲ καὶ ἐνταῦθα ἥ τε τῶν γραμμάτων
φύσις καὶ ἡ τῶν συλλαβῶν δύναμις, ἐξ ὧν πλέκεται
48 τὰ ὀνόματα· ὑπὲρ ὧν καιρὸς ἂν εἴη λέγειν.

Ἀρχαὶ μὲν οὖν εἰσι τῆς ἀνθρωπίνης φωνῆς καὶ 14
ἐνάρθρου μηκέτι δεχόμεναι διαίρεσιν, ἃς καλοῦμεν
49 στοιχεῖα καὶ γράμματα· τούτων δὲ οὐ μία πάντων

5 πάντων] πάνυ D 10 οὕτω] τοῦτο D | ῥυπαρὸν ἢ ταπει-
νὸν M 12 μηδεμίαν ἔχει ἐπιτηδείαν R 14 καὶ] τε καὶ M
om R 20 φαίηι V 28 δὲ οὐδεμία R | πάντων ἡ φ. V



SISMANOGLIO MEGARO

φύσις· διαφορὰ δὲ αὐτῶν πρώτη μέν, ὡς Ἀριστόξενος ὁ μουσικὸς ἀποφαίνεται, καθ' ἣν τὰ μὲν φωνὰς ἀποτελεῖ ὡς τὰ φωνήεντα, τὰ δὲ ψόφους ὡς τὰ λοιπὰ πάντα· δευτέρα δέ, καθ' ἣν τῶν μὴ φωνηέντων ἃ μὲν καθ' ἑαυτὰ ψόφους ὁποίους δή τινας ἀποτελεῖν πέφυκεν, ῥοῖζον ἢ σιγμὸν ἢ μυγμὸν ἢ τοιούτων τινῶν ἄλλων ἤχων δηλωτικά· ἃ δ' ἐστὶν ἁπάσης ἄμοιρα φωνῆς καὶ ψόφου, καὶ οὐχ οἷά τε ἠχεῖσθαι καθ' ἑαυτά· διὸ δὴ ταῦτα μὲν ἄφωνα τινὲς ἐκάλεσαν, θάτερα δὲ ἡμίφωνα. οἱ δὲ τριχῇ νείμαντες τὰ πάντα, φωνήεντα μὲν ἐκάλεσαν ὅσα καὶ καθ' ἑαυτὰ φωνεῖται καὶ μεθ' ἑτέρων, καὶ ἔστιν αὐτοτελῆ· ἡμίφωνα δ' ὅσα μετὰ μὲν φωνηέντων αὐτὰ ἑαυτῶν κρεῖττον ἐκφέρεται, καθ' ἑαυτὰ δὲ χεῖρον καὶ οὐκ αὐτοτελῶς· ἄφωνα δ' ὅσα οὔτε τὰς τελείας οὔτε τὰς ἡμιτελεῖς φωνὰς ἔχει καθ' ἑαυτά, μεθ' ἑτέρων δὲ ἐκφωνεῖται. ἀρκτέον τοίνυν 50
ἀπὸ τῶν φωνηέντων.

Ἔστι δὴ ταῦτα τὸν ἀριθμὸν ἑπτά· δύο μὲν βραχέα τό τε ε̆ καὶ τὸ ο̆· δύο δὲ μακρὰ τό τε η̄ καὶ τὸ ω̄· τρία δὲ δίχρονα τό τε ᾱ καὶ τὸ ῑ καὶ τὸ ῡ· καὶ γὰρ ἐκτείνεται ταῦτα καὶ συστέλλεται. ἐκφωνεῖται δὲ πάντα παρὰ τῆς ἀρτηρίας συνεχούσης τὸ πνεῦμα, καὶ τοῦ στό- 51
ματος ἁπλῶς σχηματισθέντος, τῆς τε γλώττης οὐδὲν πραγματευομένης ἀλλ' ἠρεμούσης. πλὴν καὶ τὰ μακρὰ καὶ τῶν διχρόνων ἃ μακρῶς λέγεται, τεταμένον λαμ-

1 διαφορὰν D | πρῶτα D | ὡς] ὁ (sed del) D 4 μὴ] μὲν R 5 ποιοὺς δή τινας mg D 6 ῥοίζων ἢ σιγμῶν ἢ μυγμῶν M 7 ἄλλων om M | ἤχων] ἔχοντα D | ἃ δέ ἐστιν D 8 αὐτὰ D 12 μὲν post φων. M 14 αὐτοτελῆ V | δὲ ὅσα R 15 ἡμιτελείας M 16 ἐκφωνεῖται ex ἐκφέρεται corr R 19 τὸ ε̄ DM | τὸ η̄ DM 20 τὸ ᾱ· τὸ ῑ M 23 ἐσχηματισθέντος R 25 καὶ ante τῶν om M



βάνει καὶ διηνεκῆ τὸν αὐλὸν τοῦ πνεύματος· τὰ δὲ βραχέα ἢ βραχέως λεγόμενα ἐξ ἀποκοπῆς τε καὶ μιᾷ πληγῇ πνεύματος καὶ τῆς ἀρτηρίας ἐπὶ βραχὺ κινηθείσης ἐκφέρεται. τούτων δὴ κράτιστα μέν ἐστι καὶ φωνὴν ἡδίστην ἀποτελεῖ τά τε μακρὰ καὶ τῶν διχρόνων ὅσα μηκύνεται, ὅτι πολὺν ἠχεῖται χρόνον καὶ τὸν τοῦ πνεύματος οὐκ ἀποκόπτει χρόνον· χείρω δὲ τὰ βραχέα ἢ βραχέως λεγόμενα, ὅτι μικρόφωνά τε ἐστὶ καὶ σπανίζει τὸν ἦχον. αὐτῶν δὲ τῶν μακρῶν πάλιν εὐφωνότατον μὲν τὸ ᾱ, ὅταν ἐκτείνηται· λέγεται γὰρ ἀνοιγομένου τοῦ στόματος ἐπὶ πλεῖστον καὶ τοῦ πνεύματος ἀναφερομένου πρὸς τὸν οὐρανόν· δεύτερον δὲ τὸ η̄, διότι κάτω περὶ τὴν βάσιν τῆς γλώττης ἐρείδει
52 τὸν ἦχον, ἀλλ' οὐκ ἄνω, καὶ μετρίως ἀνοιγομένου τοῦ στόματος· τρίτον δὲ τὸ ω̄· στρογγυλίζεται γὰρ ἐν αὐτῷ τὸ στόμα καὶ περιστέλλεται τὰ χείλη, τήν τε πληγὴν τὸ πνεῦμα περὶ τὸ ἀκροστόμιον ποιεῖται. ἔστι δ' ἧττον τούτου τὸ ῡ· περὶ γὰρ αὐτὰ τὰ χείλη συστολῆς γινομένης ἀξιολόγου πνίγεται καὶ στενὸς ἐκπίπτει ὁ ἦχος. ἔσχατον δὲ πάντων τὸ ῑ· περὶ τοὺς ὀδόντας γὰρ ἡ κρίσις τοῦ πνεύματος γίνεται μικρὸν ἀνοιγομένου τοῦ στόματος καὶ οὐκ ἐπιλαμπρυνόντων τῶν χειλέων τὸν ἦχον. τῶν δὲ βραχέων οὐδέτερον μὲν εὔμορφον, ἧττον δὲ δυσειδὲς τὸ ε̆· διίστησι γὰρ τὸ στόμα κρεῖττον θατέρου, καὶ τὴν πληγὴν λαμβάνει περὶ τὴν ἀρτηρίαν μᾶλλον.

2 ἢ βραχέα λεγ. R, item 8 5 ἀποκλεῖ V 7 οὐκ om R | χρόνον] φθόγγον mg D 8 τε om V 9 πάλιν ante τῶν μ. D[1] 10 ἐκτείνεται D[1] | γὰρ] δὲ V 11 στόματος] πνεύματος D 17 πεῦμα] στόμα M 18 γενομένης D 20 πάντων pro uoce erasa restituit mg D | κρίσις] ἔκκρισις D[2] 22 οὐκ ἔτι λαμπρυνόντων V | τὸν] τῶν R 25 καὶ πληγὴν sine articulo D



SISMANOGLIO MEGARO

Φωνηέντων μὲν οὖν γραμμάτων αὕτη φύσις· ἡμιφώνων δὲ τοιάδε· ὀκτὼ γὰρ τὸν ἀριθμὸν ὄντων αὐτῶν, πέντε μὲν ἐστὶν ἁπλᾶ λ̅ μ̅ ν̅ ρ̅ σ̅, διπλᾶ δὲ τρία ζ̅ ξ̅ ψ̅. 53
διπλᾶ δὲ λέγονται διὰ τὸ ἕκαστον αὐτῶν ἐκ δυοῖν ἁπλῶν συνεφθαρμένων ἀλλήλοις συγκεῖσθαι καὶ ἰδίαν φωνὴν λαμβάνειν, ἢ διὰ τὸ χώραν ἐπέχειν δυεῖν γραμμάτων ἐν ταῖς συλλαβαῖς· τούτων δὴ κρείττω μέν ἐστι τὰ διπλᾶ τῶν ἁπλῶν, ἐπειδὴ μείζονά ἐστι τῶν ἑτέρων καὶ μᾶλλον ἐγγίζειν δοκεῖ τοῖς τελείοις· ἧττω δὲ τὰ ἁπλᾶ διὰ τὸ εἰς βραχυτέρους αὐτῶν τόνους συνάγεσθαι τὸν ἦχον. φωνεῖται δὲ αὐτῶν ἕκαστον τοιόνδέ τινα τρόπον· τὸ μὲν λ̅ τῆς γλώττης πρὸς τὸν οὐρανὸν ἱσταμένης καὶ τῆς ἀρτηρίας συνηχούσης· τὸ δὲ μ̅ τοῦ μὲν στόματος τοῖς χείλεσι πιεσθέντος, τοῦ δὲ πνεύματος διὰ τῶν ῥωθώνων μεριζομένου· τὸ δὲ ν̅ τῆς γλώττης τὴν φορὰν τοῦ πνεύματος ἀποκλειούσης καὶ μεταφερούσης ἐπὶ τὸν ῥώθωνα τὸν ἦχον· τὸ δὲ ρ̅ τῆς 54
γλώττης ἄκρας ἀπορραπιζούσης τὸ πνεῦμα καὶ πρὸς τὸν οὐρανὸν ἐγγὺς τῶν ὀδόντων ἀνισταμένης· τὸ δὲ σ̅ τῆς μὲν γλώττης προαγομένης ἄνω πρὸς τὸν οὐρανὸν ὅλης, τοῦ δὲ πνεύματος διὰ μέσου αὐτοῦ φερομένου καὶ περὶ τοὺς ὀδόντας λεπτὸν καὶ στενὸν ἐξωθοῦντος τὸ σύριγμα. τρία δὲ τὰ λοιπὰ ἡμίφωνα μικτὸν λαμβάνει τὸν ψόφον, ἐξ ἑνὸς μὲν τῶν ἡμιφώνων τοῦ σ̅, τριῶν δὲ ἀφώνων τοῦ τε δ̅ καὶ τοῦ κ̅ καὶ τοῦ π̅. Δύναται δ' οὐχ ὁμοίως κινεῖν τὴν ἀκοὴν ἅπαντα·

1 ἡμίφωνα D 2 γὰρ ὄντων τῶν ἀριθμῶν αὐτῶν D 3 πέντε . . . 4 αὐτῶν om M 3 μὲν om D | εἰσιν V 4 λέγονται DV: λέγεται R | δυεῖν M 6 δυοῖν DR 10 αὐτὸν D 11 δὲ V δι' D: δ' MR 12 τὸν om D 13 συνεχούσης M 18 πρὸς iterat V 22 ἐξωθοῦν M 24 τὸ σ̅ R 26 δ' om R

SISMANOGLIO MEGARO



ἡδύνει μὲν γὰρ αὐτὴν τὸ λ̅, καὶ ἔστι τῶν ἡμιφώνων γλυκύτατον· τραχύνει δὲ τὸ ρ̅, καὶ ἔστι τῶν ὁμογενῶν γενναιότατον· μέσως δέ πως διατίθησι τὰ διὰ τῶν ῥωθώνων συνηχούμενα, τό τε μ̅ καὶ τὸ ν̅, κερατοειδεῖς ἀποτελοῦντα τοὺς ἤχους· ἄχαρι δὲ καὶ ἀηδὲς τὸ σ̅, καὶ πλεονάσαν σφόδρα λυπεῖ· θηριώδους γὰρ καὶ ἀλάλου μᾶλλον ἢ λογικῆς ἐφάπτεσθαι δοκεῖ φωνῆς ὁ συριγμός· τῶν γοῦν παλαιῶν τινὲς σπανίως ἐχρῶντο
55 αὐτῷ καὶ πεφυλαγμένως· εἰσὶ δ' οἳ καὶ ἀσίγμους ὅλας ᾠδὰς ἐποίουν· δηλοῖ δὲ τοῦτο καὶ Πίνδαρος ἐν οἷς φησι· 'πρὶν μὲν ἥριπε σχοινοτενῆ φωνήεντα διθυράμβων· καὶ τὸ σᾶν κίβδηλον ἀνθρώποις'. τῶν δὲ διπλῶν μᾶλλον ἡδύνει τὴν ἀκοὴν τὸ ζ̅ ἡσυχῇ τῷ πνεύματι δασυνόμενον· τὸ γάρ τοι ξ̅ διὰ τοῦ κ̅ καὶ τὸ ψ̅ διὰ τοῦ π̅, ψιλῶν ὄντων ἀμφοτέρων, συριγμὸν ἀποδίδωσι.

Τῶν δὲ ἀφώνων ἐννέα ὄντων τρία μέν ἐστι ψιλά κ̅ π̅ τ̅, τρία δὲ δασέα θ̅ φ̅ χ̅, τρία δὲ μεταξὺ τούτων
56 καὶ κοινὰ ἀμφοῖν β̅ γ̅ δ̅· φωνεῖται δὲ αὐτῶν τρία μὲν ἀπὸ τῶν χειλέων ἄκρων, τὸ π̅ καὶ τὸ φ̅ καὶ τὸ β̅, ὅταν τοῦ στόματος πιεσθέντος τὸ προβαλλόμενον ἐκ τῆς ἀρτηρίας πνεῦμα λύσῃ τὸν δεσμὸν αὐτοῦ· ὁμοίῳ δὲ σχήματι ταῦτα λεγόμενα ψιλότητι καὶ δασύτητι διαφέρουσιν, ὥσπερ καὶ τὰ ῥηθησόμενα. τρία δὲ λέγεται ἄλλα τῆς γλώττης ἄκρῳ τῷ στόματι προσερειδομένης κατὰ τοὺς μετεώρους ὀδόντας, ἔπειθ' ὑπὸ τοῦ πνεύματος ἀπορραπιζομένης καὶ τὴν διέξοδον αὐτῶν κάτω

3 διὰ τῶν] διὰ M 5 ἀειδὲς V 6 θηριάδους et ἐλάλου D 8 τινὲς] τινῶν τινὲς R 12 σᾶν D σαν R | κίβδον R 13 ἡσυχεῖ V 14 γάρ τοι] γὰρ R 15 ψιλῶν] ψιλῶν δὲ V 19 ἀπὸ] ἐπὶ D | π̅] τ̅ D 21 ἀρτηρίας] εὐετηρίας R | ὁμοίως M 24 τῆς γλώττης om D | ἄκρας M

περὶ τοὺς ὀδόντας ἀποδιδούσης, τὸ τ̄ καὶ τὸ θ̄ καὶ τὸ δ̄. τρία δὲ τὰ λοιπὰ λέγεται μὲν τῆς γλώττης ἀνισταμένης πρὸς τὸν οὐρανὸν ἐγγὺς τοῦ φάρυγγος, τῆς δὲ ἀρτηρίας ὑπηχούσης τῷ πνεύματι, τὸ κ̄ καὶ τὸ 57
χ̄ καὶ τὸ γ̄. τούτων κράτιστα μέν ἐστιν, ὅσα τῷ πνεύματι πολλῷ λέγεται· δεύτερα δὲ ὅσα μέσῳ· κάκιστα δὲ ὅσα ψιλῷ· ταῦτα μὲν γὰρ τὴν ἑαυτῶν δύναμιν ἔχει μόνην, τὰ δὲ δασέα καὶ τὴν τοῦ πνεύματος προσθήκην, ὡς ἐγγὺς τοῦ τελειότερα εἶναι.

15 Ἐκ δὴ τῶν γραμμάτων τούτων αἱ καλούμεναι γίνονται συλλαβαί. τούτων δὲ εἰσὶ μακραὶ μὲν ὅσαι συνεστήκασιν ἐκ φωνηέντων μακρῶν ἢ διχρόνων μακρῶς ἐκφερομένων, καὶ ὅσαι λήγουσιν εἰς μακρὸν ἢ μακρῶς λεγόμενον γράμμα ἤ τι τῶν ἡμιφώνων τε καὶ ἀφώνων· βραχεῖαι δὲ αἱ ἐκ βραχέος φωνήεντος ἢ βραχέως λαμβανομένου. μήκους δὲ καὶ βραχύτητος συλλαβῶν οὐ μία φύσις, ἀλλὰ καὶ μακρότεραί τινές εἰσι τῶν μακρῶν καὶ βραχύτεραι τῶν βραχειῶν. ἔσται δὲ τοῦτο φανερὸν ἐπὶ τῶν παραδειγμάτων.

Ὁμολογεῖται δὴ βραχεῖα εἶναι συλλαβή, ἣν ποιεῖ 58
φωνῆεν γράμμα βραχὺ τὸ ο̄, ὡς λέγεται Ὁδός. ταύτῃ προστεθήτω γράμμα ἓν τῶν ἡμιφώνων τὸ ρ̄, καὶ γενέσθω Ῥόδος· μένει μὲν ἔτι βραχεῖα ἡ συλλαβή, πλὴν οὐχ ὁμοίως, ἀλλ' ἕξει τινὰ παραλλαγὴν παρὰ τὴν προτέραν· ἔτι προστεθήτω ταύτῃ τῶν ἀφώνων γραμμάτων ἓν τὸ τ̄, καὶ γενέσθω Τρόπος· μείζων αὕτη τῶν προτέρων ἔσται συλλαβῶν, καὶ ἔτι βραχεῖα μένει· τρίτον

1 και θ̄ R   5 χ̄] λ̄ R | τούτων . . . 6 λέγεται om M | τῷ om D   7 ἔχει δύναμιν M[1]   10 δὴ] δὲ D   18 βραχέων R   20 ἣν ποιῇ V   21 βραχὺ om D   22 προστεθείτω V   23 μὲν] γὰρ V   25 προστέθειται V   26 ἓν ante γραμμάτων traiecit V   27 ἔσται om D



ἔτι γράμμα τῇ αὐτῇ συλλαβῇ προστεθήτω τὸ σ̄, καὶ γενέσθω Στρόφος· τρισὶν αὕτη προσθήκαις ἀκουσταῖς μακροτέρα γενήσεται τῆς βραχυτάτης μένουσα ἔτι βραχεῖα. οὐκοῦν τέσσαρες αὗται βραχείας συλλαβῆς διαφοραὶ τὴν ἄλογον αἴσθησιν ἔχουσαι τῆς παραλλαγῆς μέτρου. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῆς μακρᾶς· ἡ γὰρ ἐκ τοῦ η̄ γινομένη συλλαβὴ μακρὰ τὴν φύσιν οὖσα, τεττάρων γραμμάτων προσθήκαις παραυξηθεῖσα, τριῶν μὲν προταττομένων, ἑνὸς δὲ ὑποταττομένου, καθ' ἣν λέγεται Σπλήν, μείζων ἂν δήπου λέγοιτο εἶναι τῆς προτέρας ἐκείνης τῆς μονογραμμάτου· μειουμένη τε αὖ
59 πάλιν καθ' ἕκαστον τῶν προστεθέντων γραμμάτων τὰς ἐπὶ τοὔλαττον παραλλαγὰς αἰσθητὰς ἂν ἔχοι.

Πρῶτον μὲν δὴ θεώρημα τοῦτο τῶν ἐν ταῖς συλλαβαῖς παθῶν· ἕτερον δὲ τοιόνδε. τῶν γραμμάτων πολλὰς ἐχόντων διαφορὰς οὐ μόνον περὶ τὰ μήκη καὶ τὰς βραχύτητας, ἀλλὰ καὶ περὶ τοὺς ἤχους, ὑπὲρ ὧν ὀλίγῳ πρότερον εἴρηκα, ἀνάγκη καὶ τὰς ἐκ τούτων συνισταμένας συλλαβὰς ἅμα τήν τε ἰδίαν ἑκάστου σώζειν δύναμιν καὶ τὴν κοινὴν ἁπάντων, ἣ γίνεται διὰ
60 τῆς κράσεώς τε καὶ παραθέσεως αὐτῶν· ἐξ ὧν μαλακαί τε φωναὶ καὶ σκληραί, καὶ λεῖαι καὶ τραχεῖαι, γλυκαίνουσαί τε τὴν ἀκοὴν καὶ πικραίνουσαι, καὶ στύφουσαι καὶ διαχέουσαι, καὶ πᾶσαν ἄλλην κατασκευάζουσαι διάθεσιν φυσικήν· αὗται δέ εἰσι μυρίαι τὸ πλῆθος.

Ταῦτα ἤδη καταμαθόντες οἱ χαριέστατοι ποιητῶν

1 προστεθείσθω V   6 λόγος om D   7 συλλαβῆ γενομένη D   10 πλὴν D | μεῖζον δ' ἂν R ἂν μεῖζον ἂν D   12 προτεθέντων R   13 τὰς ἐπὶ . . . 15 γραμμάτων om D   14 δὴ RV: δὴ τὸ M   15 ἕτερον] δεύτερον M   19 ἅμα om D | σώζει R   21 αὐτῶν om M   27 ἤδη] δὲ ἤδη R om D

τε καὶ συγγραφέων τὰ μὲν αὐτοὶ κατασκευάζουσιν ὀνόματα, συμπλέκοντες ἐπιτηδείως ἀλλήλοις τὰ γράμματα, καὶ τὰς συλλαβὰς δὲ οἰκείας οἷς ἂν βούλωνται παραστῆσαι πάθεσι ποικίλως φιλοτεχνοῦσιν· ὡς Ὅμηρος ποιεῖ, ἐπὶ μὲν τῶν προσηνέμων αἰγιαλῶν τῇ παρεκτάσει τῶν συλλαβῶν τὸν ἄπαυστον ἐκφαίνειν βουλόμενος ἦχον·

Ἠιόνες βοόωσιν, ἐρευγομένης ἁλὸς ἔξω·

ἐπὶ δὲ τοῦ τετυφλωμένου Κύκλωπος τό τε τῆς ἀλγηδόνος μέγεθος καὶ τὴν διὰ τῶν χειρῶν βραδεῖαν ἔρευναν τῆς τοῦ σπηλαίου θύρας·

Κύκλωψ δὲ στενάχων τε καὶ ὠδίνων ὀδύνῃσι
χερσὶ ψηλαφόων·

καὶ ἄλλοθί που δέησιν ἐνδείξασθαι βουλόμενος πολ- 61
λὴν καὶ κατεσπουδασμένην·

Οὐδ' εἴ κεν μάλα πολλὰ πάθῃ ἑκάεργος Ἀπόλλων,
προπροκυλινδόμενος πατρὸς Διός·

καὶ μυρία τοιαῦτα.

16 Πολλὰ δὲ καὶ παρὰ τῶν ἔμπροσθεν λαμβάνουσιν 62
ὡς ἐκεῖνοι κατεσκεύασαν, ὅσα μιμητικὰ τῶν πραγμάτων ἐστίν, ὡς ἔχει ταυτί·

Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο.
Αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο.
Αἰγιαλῷ μεγάλῳ βρέμεται, σμαραγεῖ δέ τε πόντος.
Σκέπτετ' ὀιστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.

2 ἀλλήλοις om D 3 οἰκείως M | βούλονται R 6 βουλόμενος ἐκφαίνειν D ἐκφαίνει β. R 8 ἐτρευγομένης R 12 ὠδύνων D | ὀδίνησε V 13 χερσὶ δὲ ψ. R | ψηλαφάων M 14 δέησιν om D | δείξασθαι D 15 καὶ DV: om MR 17 προκυλινδόμενος R προκυλινδούμενος V 19 δὲ om D 20 ὡς ἐκ. . . 21 ἐστίν om D 22 ποτὲ D 23 πνοιῇ DR 24 μέγα V | τε om R

SISMANOGLIO MEGARO



μεγάλη δὲ τούτων ἀρχὴ καὶ διδάσκαλος ἡ φύσις, ἡ ποιοῦσα μιμητικοὺς καὶ θετικοὺς ἡμᾶς τῶν ὀνομάτων, οἷς δηλοῦται τὰ πράγματα κατά τινας εὐλόγους καὶ κινητικὰς τῆς διανοίας ὁμοιότητας· ὑφ' ὧν ἐδιδάχθημεν ταύρων τε μυκήματα λέγειν καὶ χρεμετισμοὺς ἵππων καὶ φριμαγμοὺς τράγων, πυρός τε βρόμον καὶ πάταγον ἀνέμων καὶ συριγμὸν κάλων καὶ ἄλλα τούτοις ὅμοια, τὰ μὲν φωνῆς μιμήματα, τὰ δὲ μορφῆς, τὰ δὲ ἔργων, τὰ δὲ πάθους, τὰ δὲ κινήσεως, τὰ δ' ἠρεμίας, τὰ δ' ἄλλου τινός.

63 Τί δὴ τὸ κεφάλαιον τοῦ λόγου; ὅτι παρὰ μὲν τὰς τῶν γραμμάτων συμπλοκὰς ἡ τῶν συλλαβῶν γίνεται σύνθεσις ποικίλη, παρὰ δὲ τὴν τῶν συλλαβῶν σύνθεσιν ἡ τῶν ὀνομάτων φύσις παντοδαπή, παρὰ δὲ τὰς τῶν ὀνομάτων ἁρμονίας πολύμορφος ὁ λόγος· ὥστε πολλὴ ἀνάγκη καλὴν μὲν εἶναι λέξιν ἐν ᾗ καλά ἐστιν ὀνόματα· κάλλους δὲ ὀνομάτων συλλαβάς τε καὶ γράμματα καλὰ αἴτιον εἶναι· ὁμοίως δὲ καὶ ἡδεῖαν διά-
64 λεκτον ἐκ τούτων ἡδυνόντων γίνεσθαι. Ὅμηρος γοῦν ὅταν μὲν ὥραν ὄψεως εὐμόρφου ἐπιδείξασθαι βούληται, τῶν τε φωνηέντων τοῖς κρατίστοις χρήσεται καὶ τῶν ἡμιφώνων τοῖς μαλακωτάτοις· καὶ οὐ καταπυκνώσει τοῖς ἀφώνοις τὰς συλλαβὰς οὐδὲ συγκόψει τοὺς ἤχους παρατιθεὶς ἀλλήλοις τὰ δυσέκφορα· πραεῖαν δέ τινα

2 π. μιμητικὰς θέσεις ἡμᾶς D 3 εὐλόγους] λόγους D 4 τῆς διαθέσεως V 5 μηκύματα V 6 in mg φριαγμὸς τράγων D 7 συριγμῶν D συρμὸν M 9 ἐρημίας τὰ δ' ἄλλα τινὸς D 11 δὴ] δὲ D | τὰς post γραμμάτων dant DR cf 14 12 τῶν πραγμάτων M 13 σύνθεσις] θέσις V 14 φύσις] σύνθεσις D | τὰς] τῆς R post ὀνομάτων traicit D 15 ὥστε . . . 16 λέξιν] καλὴν δὲ λέξιν D 17 ὀνόματα om D 18 ἡδεῖαν ex ἰδίαν corr V[1] 20 μὲν om M | εὐμόρφην R | βούλεται fort D[1] 22 μαλακωτέροις D

*ποιήσει τὴν ἁρμονίαν τῶν γραμμάτων καὶ ῥέουσαν ἀλύπως διὰ τῆς ἀκοῆς, ὡς ἔχει ταυτί·*

*Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,*
*Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσῇ Ἀφροδίτῃ.*

*Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ*
*φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.*

*Καὶ Χλῶριν εἶδον περικαλλέα, τήν ποτε Νηλεὺς*
*γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα.*

*ὅταν δ' οἰκτρὰν ἢ φοβερὰν ἢ ἀγέρωχον ὄψιν εἰσάγῃ,*
*τῶν φωνηέντων οὐ τὰ κράτιστα θήσει, ἀλλὰ τῶν ψο-*
*φοειδῶν ἢ ἀφώνων τὰ δυσεκφορώτατα· καὶ κατα-* 65
*πυκνώσει τούτοις τὰς συλλαβάς·*

*Σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ.*

*Τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο*
*δεινὸν δερκομένη· περὶ δὲ Δεῖμός τε Φόβος τε.*

*ποταμῶν δέ γε σύρρυσιν εἰς χωρίον ἓν καὶ πάταγον ὑδάτων ἀναμισγομένων ἐκμιμήσασθαι τῇ λέξει βουλόμενος οὐκέτι λείας συλλαβάς, ἀλλ' ἰσχυρὰς καὶ ἀντιτύπους θήσει·*

*Ὡς δ' ὅτε χείμαρροι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες*
*ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ·*

*καὶ μυρία τοιαῦτα. εἰ μὲν οὖν ἐγχωροίη πάντ' εἶναι* 66
*τὰ μόρια τῆς λέξεως, ὑφ' ὧν μέλλει δηλοῦσθαι τὸ*
*πρᾶγμα, εὔφωνά τε καὶ καλλιρρήμονα, μανίας ἔργον* 67
*ζητεῖν τὰ χείρω· εἰ δὲ ἀδύνατον εἴη τοῦτο, ὥςπερ ἐπὶ*
*πολλῶν ἔχει, τῇ πλοκῇ καὶ μίξει καὶ παραθέσει πειρα-*

4 *ἢ δι' ἀφροδίτη* D 5 *τοῖο* R 6 *ἔρνος νέον* V[1] 7 *ἴδον* M 9 *ἀγέτρωχον* R 11 *ἢ τῶν ἀσήμων τὰ δυσφορώτατα* D 13 *αὐτοῖσι* DV 14 *βλοσυνῶπει* D 15 *δεῖμος* sine *τε* DV 16 *δέ γε*] *δὲ* RV | *σύρρευσιν* DM *σύρροιαν* R 18 *λείας*] *τελείας* R 21 *μισγάγγειαν* M | *συμβάλλεται* D[1] 22 *οὖν* om R | *πάντη καὶ τὰ μόρια* V 23 *τὰ πράγματα* D

SISMANOGLIO MEGARO



*τέον ἀφανίζειν τὴν τῶν χειρόνων φύσιν· καὶ γὰρ καὶ τὰ ἐν τῇ Βοιωτίᾳ ὀνόματα Ὑρία καὶ Μυκαλησσὸς καὶ Γραία καὶ Ἐτεωνὸς καὶ τὰ τοιαῦτα οὐδεμίαν ἔχει καλλιλογίαν· ἀλλ' οὕτως αὐτὰ καλῶς Ὅμηρος συνύφαγκε καὶ παραπληρώμασιν εὐφώνοις διείληφεν, ὥστε μεγαλοπρεπέστερα φαίνεσθαι πάντων ὀνομάτων.*

68 *Ἵνα δὲ μηδείς εἰκῇ με δόξῃ λέγειν ῥυθμοὺς καὶ* 17
*μέτρα μουσικῆς οἰκεῖα θεωρίας εἰς οὐ ῥυθμικὴν οὐδ'*
*ἔμμετρον εἰσάγοντα διάλεκτον (ἔφην γὰρ τοὺς ῥυθμοὺς*
*οὐ μικρὰν μοῖραν ἔχειν τῆς ἀξιωματικῆς θέσεως), ἀπο-*
*δώσω καὶ τὸν ὑπὲρ τούτων λόγον. ἔχει δ' οὕτως.*
*πᾶν μέρος λόγου, ὃ μὴ μονοσύλλαβόν ἐστιν, ἐν ῥυθμῷ*
*τινι λέγεται· τὸ δ' αὐτὸ καλῶ πόδα καὶ ῥυθμόν. Δι-*
*συλλάβου μὲν οὖν λέξεως διαφοραὶ τέσσαρες, σπον-*
69 *δεῖος, πυρρίχιος, ἴαμβος, τροχαῖος. ὁ μὲν οὖν πυρρί-*
*χιος οὔτε μεγαλοπρεπής ἐστιν οὔτε σεμνός· σχῆμα δὲ*
*αὐτοῦ τοιόνδε*

*Λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα.*

*ὁ δὲ σπονδεῖος ἀξίωμα ἔχει καὶ σεμνότητα πολλήν· παράδειγμα δὲ αὐτοῦ τόδε*

*Ποῖαν δῆθ' ὁρμάσω· ταύταν, ἢ κείναν· ἢ ταύταν;*

*ὁ δ' ἴαμβος οὐκ ἀγεννής, οἷον*

*Ἐπεὶ σχολὴ πάρεστι, παῖ Μενοιτίου.*

*ὁ δὲ τροχαῖος μαλακώτερος τούτου καὶ ἀγεννέστερος, οἷον*

*Θυμὲ θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε.*

*Δισυλλάβων μὲν δὴ ῥυθμοὶ καὶ σχήματα τοσαῦτα.*

3 *γραῖα* D 4 *αὐτὰ ὅμηρος καλῶς* D | *συνύφανε* V 5 *παρείληφεν ὡς μεγ.* D 6 *φαίνεσθαι* om D | *πάντων τῶν ὀν.* D 9 *εἰσαγόντα* M | *τοὺς* om D 11 *τούτου* D 14 *οὖν* om R 15 *ἴαμβος τροχαῖος* om D 22 *ἀγενὴς* R ut 24 *ἀγενέστερος* et p 172, 2 *ἀγενὴς* RV 25 *ἀμηχάνοισιν* D | *κήδεσι* MR | *κυκώμεναι* V 26 *δὴ σχήματα καὶ ῥυθμοὶ* D

τρισυλλάβων δὲ σχήματα ὀκτώ· ὁ μὲν γὰρ ἐξ ἁπασῶν 70
βραχειῶν χορεῖος ταπεινός τε καὶ ἄσεμνος καὶ ἀγεννής, οἷον

Βρόμιε δορατοφόρ' ἐνυάλιε πολέμοιο κέλαδε·

ὁ δ' ἐξ ἁπασῶν μακρῶν μολοττὸς ὑψηλὸς καὶ ἀξιωματικός, οἷον

Ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι σωτῆρες.

ὁ δὲ ἀμφίμακρος καὶ οὗτος τῶν εὖ ἐχόντων, οἷον

Οἳ δ' ἐπείγοντο πλωταῖς ἀπήναισι χαλκεμβόλοις.

ὁ δὲ ἀμφίβραχυς οὐ σφόδρα τῶν εὐσχήμων ἐστίν, ἀλλὰ 72
κέκλασται πρὸς τὸ θῆλυ, οἷον

Ἴακχε διθύραμβε· σὺ τῶνδε χοραγέ.

ὁ δὲ ἀνάπαιστος σεμνότητα ἔχει πολλήν, ἐπιτήδειος 70
μεγέθει ἢ πάθει, οἷον 71

Βαρύ μοι κεφαλᾶς ἐπίκρανον ἔχει·

ὁ δὲ δάκτυλος πάνυ σεμνὸς καὶ εἰς τὸ κάλλος τῆς ἑρμηνείας ἀξιολογώτατος· καὶ τό γε ἡρωϊκὸν μέτρον τούτῳ κοσμεῖται, οἷον

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν.

ὁ δὲ βακχεῖος ἀνδρώδης πάνυ καὶ εἰς σεμνολογίαν 72
ἐπιτήδειος, οἷον

Σοὶ Φοῖβε Μοῦσαί τε σύμβωμοι.

ὁ δὲ παλιμβάκχειος καὶ οὗτος ὅμοιος τῷ βακχείῳ, οἷον

Τίν' ἀκτάν, τίν' ὕλαν δράμω; ποῖ πορευθῶ;

οὗτοι δώδεκα ῥυθμοί τε καὶ πόδες εἰσὶν οἱ πρῶτοι 73
καταμετροῦντες ἅπασαν ἔμμετρόν τε καὶ ἄμετρον λέξιν· ἐξ ὧν γίνονται στίχοι τε καὶ κῶλα. οἱ γὰρ ἄλλοι

5 μακρὸς μολωττὸς D | καὶ] τε καὶ R 8 δ' R 9 χαλκεμφρόλοις R 10 εὐσχημόνων M 11 κέκασται D 14 ἢ πάθει om M 16 τῆς] (πάνυ σεμνὸς) τῆς sic D 19 κόνεσσι V 25 ῥυθμοὶ καὶ R | εἰσὶ πρῶτοι καταμεροῦντες ἔμμετρον ἅπασαν καὶ D 27 στίχοι καὶ V

SISMANOGLIO MEGARO



πόδες καὶ ῥυθμοὶ πάντες ἐκ τούτων εἰσὶ σύνθετοι.
ἁπλοῦς δὲ ῥυθμὸς ἢ πούς οὔτ' ἐλάττων ἔσται δύο
74 συλλαβῶν οὔτε μείζων τριῶν. ἔνθέν τοι καὶ Θουκυ- 18
δίδης ἀξιωματικῶς συγκεῖσθαι τὴν ἐν τῷ ἐπιταφίῳ
λέξιν βουλόμενος οὕτω φησίν· 'Οἱ μὲν πολλοὶ τῶν
ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν προσθέντα τῷ
νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πο-
λέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν'· διόλου γὰρ
ταυτὶ τὰ κῶλα ἐκ σπονδείων καὶ ἀναπαίστων καὶ κρη-
75 τικῶν εἴτ' οὖν ἀμφιμάκρων καὶ δακτύλων καὶ τῶν
77 τοιούτων ἃ τὴν σεμνότητα ποιεῖ σύγκειται. καὶ μυρία
τοιαῦτα καὶ παρὰ Πλάτωνι ἔστιν εὑρεῖν. ὁ γὰρ ἀνὴρ
ἐμμέλειάν τε καὶ εὐρυθμίαν συνιδεῖν δαιμονιώτατος·
καὶ εἴ γε δεινὸς ἦν οὕτως ἐκλέξαι τὰ ὀνόματα, ὡς
συνθεῖναι περιττός, καὶ νύ κεν ἢ παρήλασεν ἂν τὸν
Δημοσθένην κάλλος ἑρμηνείας ἢ ἀμφήριστον ἔθηκε.
νῦν δὲ περὶ μὲν τὴν ἐκλογὴν ἔστιν ὅτε διαμαρτάνει,
καὶ μάλιστα ἐν οἷς ἂν τὴν ὑψηλὴν καὶ περιττὴν καὶ
ἐγκατάσκευον διώκῃ φράσιν· συντίθησι δὲ τὰ ὀνόματα
καὶ ἡδέως καὶ καλῶς νὴ Δία, καὶ οὐκ ἄν τις αὐτὸν
ἔχοι κατὰ τοῦτο μέμψασθαι τὸ μέρος. ὁ δὲ Δημοσθέ-
νης ὅρος τίς ἐστιν ἐκλογῆς τε ὀνομάτων καὶ κάλλους
συνθέσεως.

84 Εἰρηκὼς δὴ καὶ περὶ τῶν ῥυθμῶν, ἐπὶ τὸ τρίτον 19
θεώρημα τὴν μεταβολὴν μεταβήσομαι. Λέγω δ' οὐ
τὴν ἐκ τῶν κρειττόνων ἐπὶ τὰ χείρω, ἀλλὰ τὴν ἐν τοῖς
ὁμοειδέσι ποικιλίαν. κόρον γὰρ ἔχει καὶ τὰ καλὰ πάντα

2 ἐλάττων ἔσται] ἐλάττονές τε V tribus punctis supra positis 4 ἀξιωματικὸς D | ἐν] ἐπὶ R 7 τοιόνδε D 9 σποδείων R 10 ἤτουν R[1] 15 περιττ[ὸ]ς c lit V | ἂν om MR sed παρήλασεν seruat R 16 κάλλει DR | ἀμφίρηστον R 19 διώκει R 21 ἔχει D 22 κάλλος V 25 μεταβήσομε V

ὥσπερ καὶ τὰ ἡδέα ὄντα ἐν τῇ ταὐτότητι, ποικιλλόμενα
δὲ ταῖς μεταβολαῖς ἀεὶ καινὰ μένει. τοῖς μὲν οὖν τὰ
μέτρα καὶ τὰ μέλη γράφουσιν οὐχ ἅπαντα ἔξεστι μετα-
βάλλειν οὐδ' ἐφ' ὅσον βούλονται. αὐτίκα τοῖς μὲν
ἐποποιοῖς μέτρον οὐκ ἔξεστι μεταβάλλειν, ἀλλ' ἀνάγκη
πάντας εἶναι τοὺς στίχους ἑξαμέτρους· οὐδέ γε ῥυθ-
μόν, ἀλλὰ τοῖς ἀπὸ μακρᾶς ἀρχομένοις συλλαβῆς χρή-
σονται. τοῖς δὲ τὰ μέλη γράφουσι τὸ μὲν τῶν στρο-
φῶν τε καὶ ἀντιστρόφων οὐχ οἷόν τε ἀλλάξαι μέλος·
ἀλλ' ἐάν τ' ἐναρμονίους ἐάν τε χρωματικὰς ἐάν τε 85
διατόνους ὑποθῶνται μελῳδίας, ἐν πάσαις δεῖ ταῖς
στροφαῖς καὶ ἀντιστρόφοις τὰς αὐτὰς ἀγωγὰς φυλάτ-
τειν· περὶ δὲ τὰς καλουμένας ἐπῳδοὺς ἀμφότερα κινεῖν
ταῦτα ἔξεστι, τό τε μέλος καὶ τὸν ῥυθμὸν τά τε κῶλα
ἐξ ὧν συνέστηκε περίοδος ἑκάστη, ἄλλοτε ἄλλα μεγέθη
καὶ σχήματα αὐτοῖς περιτιθέντας.

Οἱ μὲν οὖν ἀρχαῖοι μελοποιοί, λέγω Ἀλκαῖόν τε
καὶ Σαπφώ, μικρὰς ἐποιοῦντο στροφάς, ὥστ' ἐν ὀλί-
γοις τοῖς κώλοις οὐ πολλὰς εἰσῆγον μεταβολάς· οἱ δὲ
περὶ Στησίχορόν τε καὶ Πίνδαρον μείζους ἐργασάμενοι
τὰς περιόδους εἰς πολλὰ μέτρα καὶ κῶλα διένειμαν
αὐτὰς μεταβολῆς ἔρωτι. οἱ δέ γε διθυραμβοποιοὶ καὶ
τοὺς τρόπους μετέβαλλον, Δωρίους τε καὶ Φρυγίους 86
καὶ Λυδίους ἐν τῷ αὐτῷ ᾄσματι ποιοῦντες· καὶ τὰς

1 ἐν τῇ] ἐν M 2 κοινὰ V 4 οὐδ' ἐφ' ... 5 μεταβάλλειν om DM 7 ἀλλὰ] ἀλλ' ἐν D | ἀρχομένης D 10 χρωματικοὺς DV 11 πω θῶνται V: ποιῶνται MR ποιοῦνται D 13 δὲ post καλουμένας traicit D 14 ταῦτ' V 15 μεγέθη τε καὶ D 16 περιθέντας R 17 μελωποιοὶ V | ἀναγκαῖον sed mg ἀλκαῖον D | τε om R 18 ὀλίγοις] λόγοις R 20 μείζους ante τὰς posuit D 21 εἰς om D | κῶλα καὶ μέτρα R 22 αὐταῖς ex αὐτὰς corr D 23 μετέβαλον DMR, non V | Δωρίους] δολίους D[1] 24 καὶ τὰς ... 175, 1 ποιοῦντες om D



μελῳδίας ἐξήλλαττον, τοτὲ μὲν ἐναρμονίους ποιοῦντες,
τοτὲ δὲ χρωματικάς, τοτὲ δὲ διατόνους. ἡ δὲ πεζὴ
λέξις ἅπασαν ἐλευθερίαν ἔχει ποικίλλειν ταῖς μεταβο-
λαῖς τὴν σύνθεσιν ὅπως βούλεται.

Καὶ ἔστι λέξις κρατίστη πασῶν, ἥ τις ἂν ἔχοι
πλείστας ἀναπαύλας τε καὶ μεταβολὰς ἐναρμονίους,
ὅταν τουτὶ μὲν ἐν περιόδῳ λέγηται, τουτὶ δ' ἔξω
περιόδου, καὶ ἥδε μὲν ἡ περίοδος ἐκ πλειόνων πλέκη-
ται κώλων, ἥδε δ' ἐξ ἐλαττόνων, αὐτῶν δὲ τῶν κώλων
τὸ μὲν βραχύτερον ᾖ, τὸ δὲ μακρότερον, καὶ τὸ μὲν
γοργότερον, τὸ δὲ βραδύτερον, ῥυθμοί τε ἄλλοτε ἄλλοι,
καὶ σχήματα παντοῖα, καὶ τάσεις φωνῆς αἱ καλούμεναι
προσῳδίαι διάφοροι, κλέπτουσαι τῇ ποικιλίᾳ τὸν κόρον.
ἔχει δὲ χάριν τὸ οὕτω συγκείμενον, ὥστε μὴ συγκεῖ-
87 σθαι δοκεῖν. παράδειγμα δὲ τῆς τοιαύτης μεταβολῆς
ποιοῦμαι πᾶσαν μὲν τὴν Ἡροδότου λέξιν, πᾶσαν δὲ
τὴν Πλάτωνος, πᾶσαν δὲ τὴν Δημοσθένους· ἀδύνατον
γὰρ εὑρεῖν τούτων ἑτέρους ἐπεισοδίοις τε πλείοσι καὶ
ποικιλίαις εὐκαιροτέροις καὶ σχήμασι πολυειδεστέροις
χρησαμένους· λέγω δὲ τὸν μὲν ὡς ἐν ἱστορίας σχήματι,
τὸν δ' ὡς ἐν διαλόγων χάριτι, τὸν δ' ὡς ἐν λόγων
ἐναγωνίων χρείᾳ. ἀλλ' οὐχ ἡ Ἰσοκράτους καὶ τῶν
ἐκείνου γνωρίμων αἵρεσις ὁμοία ταύταις ἦν· ἀλλὰ
καίπερ ἡδέως καὶ μεγαλοπρεπῶς πολλὰ συνθέντες οἱ
ἄνδρες οὗτοι περὶ τὰς μεταβολὰς καὶ τὴν ποικιλίαν οὐ
πάνυ εὐτυχοῦσιν· ἀλλ' ἔστι παρ' αὐτοῖς κύκλος τις,
ὁμοειδὴς σχημάτων τάξις, φυλακὴ συμπλοκῆς φωνηέν-.

2 δὲ ante διατ. om D 8 πλέκεται M 9 κώλων om D | δὲ ἐξ DR 11 βραδύτερον DM: βραχύτερον RV 13 κλέπτουσι R 14 τὸ συγκ. οὕτω D 16 μὲν om R 19 εὐκαιροτέραις V 20 σχήμασι R 21 χάριτι ... λόγων om D 23 ἐκείνου] αὐτοῦ R 24 συντιθέντες M 27 συμπλοκῆς V: συμπλοκὴ DMR

SISMANOGLIO MEGARO

των ἡ αὐτή, ἄλλα πολλὰ τοιαῦτα κόπτοντα τὴν ἀκρόασιν. καὶ αὐτῷ μὲν ἴσως τῷ Ἰσοκράτει πολλαὶ χάριτες ἐπήνθουν ἄλλαι ταύτην ἐπικρύπτουσαι τὴν ἀμορφίαν, παρὰ δὲ τοῖς μετ᾽ ἐκεῖνον ἀπ᾽ ἐλαττόνων τῶν ἄλλων κατορθωμάτων περιφανέστερον γίνεται τοῦτο τὸ ἁμάρτημα.

20 Ἔτι καταλείπεται ἡμῖν ὁ περὶ τοῦ πρέποντος λόγος. 88
πρέπον δέ ἐστι τὸ τοῖς ὑποκειμένοις ἁρμόττον προσώποις καὶ πράγμασιν. ὥςπερ γάρ ἐστι τις ἐκλογὴ νοημάτων ἡ μὲν πρέπουσα τοῖς ὑποκειμένοις, ἡ δὲ ἀπρεπής, οὕτω δή που καὶ σύνθεσις· οὐ γὰρ ὁμοίᾳ συνθέσει χρώμεθα ὀργιζόμενοι καὶ χαίροντες, οὐδὲ ὀλοφυρόμενοι καὶ φοβούμενοι, οὐδ᾽ ἐν ἄλλῳ τινὶ πάθει ὄντες· καὶ μὴν καὶ οἱ αὐτοὶ ἄνθρωποι ἐν τῇ αὐτῇ καταστάσει 89
τῆς ψυχῆς ὄντες, ὅταν ἀπαγγέλλωσι πράγματα οἷς ἂν παραγενόμενοι τύχωσιν, οὐχ ὁμοίᾳ χρῶνται συνθέσει περὶ πάντων· ἀλλὰ καὶ μιμητικοὶ γίνονται τῶν ἀπαγγελλομένων, οὐδὲν ἐπιτηδεύοντες, ἀλλὰ φυσικῶς ἐπὶ τοῦτο ἀγόμενοι. ταῦτα δὲ δεῖ παρατηροῦντα τὸν ἀγαθὸν ποιητὴν καὶ ῥήτορα μιμητικὸν εἶναι τῶν πραγμάτων ὑπὲρ ὧν ἂν τοὺς λόγους ἐκφέροι, μὴ μόνον κατὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων, ἀλλὰ καὶ κατὰ τὴν σύνθεσιν. ὃ ποιεῖν εἴωθεν Ὅμηρος, καίπερ μέτρον ἔχων καὶ ῥυθμοὺς ὀλίγους, ἀλλ᾽ ὅμως ἀεί τι καινουργῶν ἐν αὐτοῖς καὶ φιλοτεχνῶν, ὥςτε μηδὲν ἡμῖν διαφέρειν γινόμενα τὰ πράγματα ἢ λεγόμενα ὁρᾶν. οἷον

1 ἄλλα τε $D^2$ 2 καὶ om D | ἰσοκράτη M 4 τοῖς] ταῖς $D^1$ 5 λέγεται $D^1$ 8 προσώποις ἁρμόττον R 13 οὐδὲ ἐν V οὐδὲ sine ἐν M | οὐδὲ ὀλοφυρόμενον post ὄντες iterata secludit D 15 τῆς om M | ὅταν] ὅτε D | ἀπαγγέλωσι DRV 17 τῶν om M 19 δὲ] δὴ D 20 ποιητὴν om $D^1$ 25 ἑαυτοῖς R



90 Καὶ μὴν καὶ Σίσυφον εἶδον κρατέρ᾽ ἄλγε᾽ ἔχοντα,
λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν·
ἤτοι ὃ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε
λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον·

ἐνταῦθα γὰρ ἡ σύνθεσίς ἐστιν ἡ δηλοῦσα τῶν γινομένων ἕκαστον· τὸ βάρος τοῦ πέτρου, τὴν ἐπίπονον ἐκ τῆς γῆς κίνησιν, τὸν διερειδόμενον τοῖς κώλοις, τὸν ἀναβαίνοντα πρὸς τὸν ὄχθον, τὴν μόλις ἀνωθουμένην πέτραν· γέγονε δὲ παρὰ τὸ ἐν τοῖς δυσὶ στίχοις οἷς ἀνακυλίει τὴν πέτραν, ἔξω δυεῖν ῥημάτων τὰ λοιπὰ
91 τῆς λέξεως μόρια πάντ᾽ ἐστὶν ἤτοι δισύλλαβα ἢ μονοσύλλαβα· ἔπειτα τῷ ἡμίσει πλείους εἰσὶν αἱ μακραὶ συλλαβαὶ τῶν βραχειῶν, καὶ διαβεβήκασι πᾶσαι αἱ τῶν ὀνομάτων ἁρμονίαι καὶ διεστήκασιν αἰσθητῶς, ἢ τῶν φωνηέντων συγκρουομένων ἢ τῶν ἡμιφώνων τε καὶ ἀφώνων· ῥυθμοῖς τε καὶ δακτύλοις καὶ σπονδείοις σύγκειται. αἱ μὲν οὖν μονοσύλλαβοι καὶ δισύλλαβοι λέξεις, πολλοὺς τοὺς μεταξὺ χρόνους ἀλλήλων ἀπολείπουσαι, τὸ χρόνιον ἐμιμήσαντο τοῦ ἔργου· αἱ δὲ μακραὶ συλλαβαὶ στηριγμούς τινας ἔχουσαι καὶ ἐγκαθίσματα τὴν ἀντιτυπίαν καὶ τὸ βαρὺ καὶ τὸ μόλις· τὸ δὲ μεταξὺ τῶν ὀνομάτων ψύγμα καὶ ἡ τῶν τραχυνόντων γραμμάτων παράθεσις τὰ διαλείμματα τῆς ἐνεργείας καὶ τὰς ἐποχὰς καὶ τὸ τοῦ μόχθου μέγεθος· οἱ ῥυθμοὶ δ᾽ ἐν μήκει θεωρούμενοι τὴν διέκτασιν τῶν μελῶν καὶ τὸν διελκυσμὸν τοῦ κυλίοντος καὶ τὴν τοῦ πέτρου

1 alterum καὶ om R | ἴδον DR 2 et 4 λάαν DR | ἀμφοτέροισιν D 3 χερσίν D | ποσί R 7 τῆς om R 9 δὲ] γὰρ δὴ D 10 ἀνακυλίῃ R | δυοῖν DR 13 πᾶσαι om D 16 ῥυθμοῖς καὶ R 17 σύγκεινται R 19 ἔργου] χρόνου M 20 στηρισμοὺς V 23 τὸ διάλειμμά τε τῆς V 24 τὸ post μόχθου traicit R

ἔρεισιν. καὶ ὅτι ταῦτα οὐ φύσεώς ἐστιν αὐτοματιζούσης ἔργα, ἀλλὰ τέχνης μιμήσασθαι πειρωμένης τὰ γινόμενα, τὰ ἑξῆς δηλοῖ· τὴν γὰρ ἀπὸ τῆς κορυφῆς ἐπιστρέφουσαν πάλιν καὶ κατακυλιομένην πέτραν οὐ 92 τὸν αὐτὸν ἡρμήνευκε τρόπον, ἀλλ' ἐπιταχύνας καὶ συστρέψας τὴν σύνθεσιν· προειπὼν γὰρ ἐν τῷ αὐτῷ σχήματι

ἀλλ' ὅτε μέλλοι
ἄκρον ὑπερβαλέειν,

ἐπιτίθησι τοῦτο

τότ' ἐπιστρέψασκε κραταιὶς
αὖτις· ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής·

οὐχὶ συγκυλίεται τῷ βάρει τῆς πέτρας ἡ τῶν ὀνομάτων σύνθεσις, μᾶλλον δὲ ἔφθακε τὴν τοῦ λίθου φορὰν τὸ τῆς ἀπαγγελίας τάχος; μονοσύλλαβον μὲν γὰρ οὐδεμίαν, δισυλλάβους δὲ δύο μόνας ἔχει λέξεις· καὶ οὐ διίστησι τοὺς χρόνους ἀλλ' ἐπιταχύνει· καὶ πλείους τῶν μακρῶν αἱ βραχεῖαι· καὶ οὔτε φωνήεντα διιστῶσιν 93 ἀλλήλων τὰ ὀνόματα οὔτε ἡμιφώνῳ ἡμίφωνον ἢ ἄφωνον παράκειται, ἃ τραχύνει τὸν λόγον· ἀλλὰ συνολισθαίνουσιν ἀλλήλαις καὶ συγκαταφέρονται, καὶ τρόπον τινὰ μία ἐξ ἁπασῶν γίνεται διὰ τὴν τῶν ἁρμονιῶν ἀκρίβειαν· καὶ ῥυθμὸς οὐδεὶς σπονδεῖος ἐν αὐτοῖς.

21 Διαφοραὶ δὲ συνθέσεως εἰδικαὶ μὲν σφόδρα πολλαὶ 94 καὶ εἰς σύνοψιν ἐλθεῖν οὐ δυνάμεναι· οὐ γὰρ ὁμοίως 95 τὰ αὐτὰ ὀνόματα συντίθεμεν ἅπαντες. τὰς μέντοι

2 πειρωμένοις V 5 ἡρμήνευκε V: ἡρμήνευσε DMR 8 μέλλει R μέλλ** c ras D 10 τοῦτο MV: τούτῳ DR 11 κραταιὲς D κραταιὸς R 12 αὖθις MV | πέδον R | λάας DRV 13 τῆς πέτρας om D 14 ἔφθακε] ἔφασκε M 19 οὔτε τῷ ἡμιφ. D 20 παράκεινται DR 21 ἀλλήλοις D 24 εἰδικαὶ V: [ἰ]δικαὶ c ras M, DR 25 οὐ δύναμαι R

SISMANOGLIO MEGARO



γενικὰς αὐτῆς διαφορὰς μόνας τρεῖς εἶναι πείθομαι, ἃς οὐκ ἔχων ὀνομάζειν μεταφορικοῖς ὀνόμασι καλῶ, τὴν μὲν αὐστηράν, τὴν δὲ γλαφυρὰν ἢ ἀνθηράν, τὴν δὲ τρίτην εὔκρατον εἴ τε κατὰ στέρησιν τῶν ἄκρων εἴ τε κατὰ μῖξιν εἴ τε κατὰ ἄνεσιν καὶ ἐπίτασιν τῶν ἐσχάτων ὅρων.

96 Τῆς μὲν οὖν αὐστηρᾶς ἁρμονίας τοιόσδε ὁ χαρακτήρ· 22 ἐρείδεσθαι βούλεται τὰ ὀνόματα ἀσφαλῶς καὶ στάσεις λαμβάνειν ἰσχυράς, ὥστ' ἐκ περιφανείας ἕκαστον ὄνομα ὁρᾶσθαι, ἀπέχειν τε ἀπ' ἀλλήλων τὰ μόρια διαστάσεις ἀξιολόγους αἰσθητοῖς χρόνοις διειργόμενα· τραχείαις τε χρῆσθαι πολλαχῇ καὶ ἀντιτύποις ταῖς συμβολαῖς· 97 ῥυθμοὺς δὲ ἐπιτηδεύει τοὺς ἀξιωματικοὺς καὶ μεγαλοπρεπεῖς, καὶ οὔτε πάρισα βούλεται τὰ κῶλα ἀλλήλοις εἶναι οὔτε παρόμοια οὔτε ἀνάγκῃ δουλεύοντα, ἀκόλουθα δὲ καὶ εὐγενῆ καὶ λαμπρὰ καὶ ἐλεύθερα· φύσει τ' ἐοικέναι μᾶλλον αὐτὰ βούλεται ἢ τέχνῃ, καὶ κατὰ πάθος λέγεται μᾶλλον ἢ κατὰ ἦθος· περιόδους δὲ συντιθέναι συναπαρτιζούσας ἑαυταῖς τὸν νοῦν τὰ πολλὰ μὲν οὐδὲ βούλεται· εἰ δέ ποτ' αὐτομάτως ἐπὶ τοῦτο κατενεχθείη, τὸ ἀνεπιτήδευτον ἐμφαίνειν θέλει καὶ ἀφελές, οὔτε προσθήκαις τισὶν ὀνομάτων, ἵνα ὁ κύκλος ἐκπληρωθῇ, μηδὲν ὠφελούσαις τὸν νοῦν χρωμένη, οὔτε

2 ὁ δὲ Πλούταρχος τὸ μὲν τῆς συνθέσεως ἁδρόν, τὸ δὲ ἰσχνόν, τὸ δὲ μέσον καλεῖ. D mg. cf Sadaeus p 26. 28

1 αὐτῆς DV: αὐτοῖς MR 4 ἄκρατον D[1] | ἄκρων] ἀν̄ων ie ἀνθρώπων V 5 κατ' ἄνεσιν M 10 τε post ἀπέχειν om D | διὰ στάσεις M 11 διειργόμενος M 12 τε ante χρῆσθαι om R 13 δὲ] τὲ M | ἐπιτηδεύειν R 14 οὔτε βούλεται πάρισα V | ἀλλήλοις om V 18 λέγεσθαι D | δὲ] τε DR 19 συναρπαζούσας V 21 ἐθέλει M 22 ἀφελὲς DV: ἀσφαλὲς MR 23 ὠφελήσας M

ὅπως αἱ βάσεις αὐτῶν γένοιντο θεατρικαί τινες ἢ γλα-
φυραί, οὐδ' ἵνα τῷ πνεύματι τοῦ λέγοντος ὦσιν αὐτάρ-
κεις· οὐδέ τι τοιοῦτον· ἀλλὰ περὶ τὰς πτώσεις ποικίλη, 98
περὶ τοὺς σχηματισμοὺς ὀλιγοσύνδεσμος, ἄναρθρος, ἐν
πολλοῖς ὑπεροπτικὴ τῆς ἀκολουθίας, ἥκιστα ἀνθηρά,
μεγαλόφρων, αὐθέκαστος, ἀκόμψευτος, τὸν ἀρχαϊσμὸν
καὶ τὸν πῖνον ἔχουσα κάλλος. Ταύτης τῆς ἁρμονίας
πολλοὶ μὲν ἐγένοντο ζηλωταί, διαφέροντες δὲ τῶν ἄλ-
λων ἐν μὲν ποιήσει ὅ τε Κολοφώνιος Ἀντίμαχος καὶ
Ἐμπεδοκλῆς ὁ φυσικός, ἐν δὲ μελοποιίᾳ Πίνδαρος, ἐν
τραγῳδίᾳ δὲ Αἰσχύλος, ἐν ἱστορίᾳ δὲ Θουκυδίδης, ἐν
δὲ πολιτικοῖς λόγοις Ἀντιφῶν. προκείσθω δὴ καὶ 99
παραδείγματα· Πινδάρου μὲν διθύραμβός τις οὗ ἐστιν
ἡ ἀρχή·

Δεῦτ' ἐν χορὸν Ὀλύμπιοι· ἐπί τε κλυτὰν πέμπετε
χάριν θεοί, πολύβατον οἵ τ' ἄστεος ὀμφαλὸν θυό-
εντα ἐν ταῖς ἱεραῖς Ἀθήναις οἰχνεῖτε πανδαίδαλόν
τ' εὐκλέ' ἀγοράν. ἰοδέτων λάχετε στεφάνων τάν τε
ἀριδρέπτων ἀοιδάν· Διόθεν τέ με σὺν ἀγλαΐᾳ ἴδετε
πορευθέντες ἀοιδαῖς δεύτερον ἐπὶ τὸν κισσοδαῆ
θεόν, ὃν Βρόμιον, ὃν Ἐριβόαν βροτοὶ καλέομεν·
γόνον ὑπάτων τε πατέρων μέλπομεν γυναικῶν τε 100
Καδμείαν Σεμέλαν. ἐναργέα νεμέω μάντιν οὐ λαν-
θάνει, φοίνικος ἑανῶν ὁπότ' οἰχθέντος Ὡρᾶν θαλά-
μου εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα· τότε

3 fort οὐδέν τι  6 ἀκόμψευστος D  7 ταύτης τῆς et 8 μὲν om D  11 ἐν δὲ τραγ. D | ἐν δὲ ἱστ. D ἐν ἱστ. R 12 προσκείσθω M  13 τις om M | ἐστιν om M  14 ἡ om D  18 εὐκλεαγόραν una uoce libri | στέφανον DR  19 ἀγρι-δρέπτων R | διόθεν τί με V  22 γόνων V | τε post π̅ρ̅ώ̅ν̅ traicit D | τε post γυν. om V  23 σεμέλαν RV μέλαν D σεμέλην M | νεμέω] νεμέα R

SISMANOGLIO MEGARO



βάλλετε, τότ' ἐπ' ἄμβροτον χέρσον ἐραταὶ ἴων φόβαι,
ῥόδα τε κόμαισι μίγνυνται· οἰχνεῖ τ' ὀμφᾶ μελέων
σὺν αὐλοῖς, οἰχνεῖτε Σεμέλαν ἑλικάμπυκα χοροί'.

Ταῦθ' ὅτι μέν ἐστιν ἰσχυρὰ καὶ στιβαρὰ καὶ ἀξιω-
ματικὰ καὶ πολὺ τὸ αὐστηρὸν ἔχει, τραχύνει τε ἀλύ-
πως καὶ πικραίνει μετρίως τὰς ἀκοάς, πάντες ἂν
101 εἴποιεν. γέγονε δὲ τοῦτο κατὰ τέχνην· τὸ γὰρ 'ἐν
χορόν' καὶ ἀντίτυπον καὶ οὐκ εὐεπές, τοῦ μὲν συν-
δέσμου λήγοντος εἰς τὸ ν̅, τοῦ δὲ προσηγορικοῦ ἀρχο-
μένου ἐξ ἀφώνου τοῦ χ̅· ἀσύμμικτα δὲ κατὰ μίαν συλ-
λαβὴν προηγουμένου τοῦ ν̅ φύσει ταῦτα τὰ στοιχεῖα
καὶ ἀκόλλητα· ὥστε τὰ τῶν συλλαβῶν δύο μόρια οὐ
συνάπτει τὸν ἦχον, ἀλλ' ἀνάγκη σιωπήν τινα γενέσθαι
μέσοιν ἀμφοῖν τὴν διορίζουσαν ἑκατέρων τῶν γραμμά-
102 των τὰς δυνάμεις. ἔτι καὶ τὸ 'κλυτάν' ἀντίτυπον
103 πεποίηκε καὶ τραχεῖαν τὴν σύνθεσιν καὶ δυσεκφώνη-
τον ἀναβολὴν καὶ ἐγκοπὴν τῆς ἁρμονίας. εἰ γοῦν τὸ
κ̅ τις ἀφέλοι τῆς συλλαβῆς καὶ ποιήσει 'ἐπί τε λυτάν',
λυθήσεται καὶ τὸ τραχὺ τῆς ἁρμονίας. τοιοῦτον δὲ
καὶ τὸ 'πέμπετε' τῷ 'κλυτάν' ἐπικείμενον οὐκ εὐκέρα-
στον ἦχον ἔχει, ἀλλ' ἀνάγκη στηριχθῆναι τὸ ν̅, καὶ
πιεσθέντος ἱκανῶς τοῦ στόματος τότε ἀκουστὸν γενέ-
σθαι τὸ π̅· οὐ γὰρ ὑποτακτικὸν τῷ ν̅ τὸ π̅· τούτου δ'
αἴτιον ὁ τοῦ στόματος σχηματισμός, οὔτε κατὰ τὸν

1 ἄμβρωτον V | ἐραταὶ om D | φόβαι] φόριαι V  2 ὀμφα-λέων R | ἀμφᾶ V ὀμφὰ D  4 μέν ἐστιν om D  6 μετρίως] μετρίας μετρίως D om M | πάντες om D | ἂν ἔποιεν D 7 δὲ] δὴ D  8 εὔεπες V  9 λήγοντος et ἀρχομένου om V  14 μέσον R  16 καὶ ταχεῖαν M  17 ἀναβολὴν] τὴν ἀναβ. R | εἰ γοῦν . . . 19 ἁρμονίας om M  18 ποιήσει DV: ποιήσοι R  19 ταχὺ D | τοιοῦτο DR  20 τῷ] τὸ M | εὐέραστον M εὐάρεστον R  22 στόμαχος R  23 τῷ ν̅] τῶν V

αὐτὸν τόπον οὔτε τῷ αὐτῷ τρόπῳ τῶν γραμμάτων τούτων ἐκφερομένων ὡς προδεδήλωταί μοι. καὶ πολλά τις 106
ἂν εὕροι τοιαῦτα, ὅλην τὴν ᾠδὴν σκοπῶν.

Πινδάρου μὲν οὖν ἅλις ἔστω· Θουκυδίδου δὲ λαμβανέσθω λέξις ἡ ἐκ τοῦ προοιμίου ἥδε·

‘Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου, καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προ- 107
γεγενημένων, τεκμαιρόμενος ὅτι ἀκμάζοντες εἰς αὐτὸν ἦσαν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον· κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλησιν ἐγένετο καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δ᾽ εἰπεῖν, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων· τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαιότερα σαφῶς εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατα ἦν’.

Αὕτη ἡ λέξις ὅτι μὲν οὐκ ἔχει λείας οὐδὲ συν- 108
εξευγμένας ἀκριβῶς τὰς ἁρμονίας, οὐδὲ ἔστιν εὐεπὴς καὶ μαλακή, ἀλλὰ πολὺ τὸ ἀντίτυπον καὶ στρυφνὸν ἐμφαίνει, οὐδὲν δέομαι λέγειν, ἄλλως τε καὶ αὐτοῦ τοῦ συγγραφέως ὁμολογήσαντος, ὅτι εἰς μὲν ἀκρόασιν ἧττον ἐπιτερπὴς ἡ γραφή ἐστι, ‘κτῆμα δ᾽ εἰς ἀεὶ μᾶλλον ἢ ἀγώνισμα εἰς τὸ παραυτίκα ἀκούειν σύγκειται’. τίνα δ᾽ ἐστὶ τὰ θεωρήματα, οἷς χρησάμενος ὁ ἀνὴρ οὕτως αὐστηρὰν πεποίηκε τὴν ἁρμονίαν, δι᾽ ὀλίγων σημανῶ.

1 τόπον] τρόπον M  6 συνέγραψε V  12 τὸ — 13 τὸ RV: τὸν — τὸν DM  14 αὕτη DRV[2]: αὕτη δὴ V[1] (tribus punctis del), αὕτη δὲ M  17 χρόνον D  19 οὐδέν ἐστιν M | εὐεπής ἐστι D  20 μαλακὸς V  21 τοῦ om R  24 εἰς τὸ] οἷς τὸ D ὥστο M | σύγχειται V  25 οἷς DR: τίσι V τί M  26 ὀλίγου V



Αὐτίκα ἐν ἀρχῇ τῷ ‘Ἀθηναῖος’ τὸ ‘ξυνέγραψεν’ ἐπαγόμενον διίστησιν ἀξιολόγως τὴν ἁρμονίαν· οὐ γὰρ
109 προτάττεται τὸ σ̅ τοῦ ξ̅ κατὰ συνεκφοράν, δεῖ δὲ τοῦ σ̅ σιωπῇ καταληφθέντος τότε ἀκουστὸν γενέσθαι τὸ ξ̅· τοῦτο δὲ τραχύτητα ἐργάζεται καὶ ἀντιτυπίαν τὸ πάθος. ἔπειθ᾽ αἱ μετὰ τοῦτο γινόμεναι συγκοπαὶ τῶν ἤχων, τοῦ τε ν̅ καὶ τοῦ τ̅ καὶ τοῦ π̅ καὶ τοῦ κ̅, τετράκις ἑξῆς ἀλλήλαις παρακείμεναι, χαράττουσιν εὖ μάλα τὴν ἀκοὴν καὶ διασαλεύουσιν ἀξιολόγως τὰς ἁρμονίας, ὅταν φῇ ‘τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων’· τούτων γὰρ τῶν μορίων τῆς λέξεως οὐθὲν ὅ τι οὐχὶ καταληφθῆναί τε δεῖ καὶ πιεσθῆναι πρότερον ὑπὸ τοῦ στόματος περὶ τὸ τελευταῖον γράμμα, ἵνα τὸ συναπτόμενον αὐτῷ τρανὴν καὶ καθαρὰν τὴν ἑαυτοῦ λάβῃ δύναμιν· ἔτι πρὸς τούτοις ἡ τῶν φωνηέντων παράθεσις ἐν τῷ ‘καὶ Ἀθηναίων’ διακέκρουκε τὸ συνεχὲς τῆς ἁρμονίας καὶ διέστηκε πάνυ αἰσθητὸν τὸν μεταξὺ λαβοῦσα χρόνον· ἀκέραστοι γὰρ αἱ φωναὶ τοῦ τε ι̅ καὶ τοῦ α̅ καὶ ἀποκόπτουσαι τὸν ἦχον· τὸ δ᾽ εὐεπὲς οἱ συνεχεῖς τε καὶ οἱ συλλεαινόμενοι ποιοῦσιν ἦχοι. καὶ πολλὰ τοιαῦτα ἂν εὕροι τις.

111 Ἡ δὲ γλαφυρὰ καὶ ἀνθηρὰ σύνθεσις χαρακτῆρα 23
τοιόνδε ἔχει· οὐ ζητεῖ καθ᾽ ἓν ἕκαστον ὄνομα ἐκ περι-
112 φανείας ὁρᾶσθαι, οὐδ᾽ ἐν ἕδρᾳ πάντα βεβηκέναι πλατείᾳ καὶ ἀσφαλεῖ, οὐδὲ μακροὺς τοὺς μεταξὺ αὐτῶν

1 συνέγραψεν DV  4 καταλειφθέντος V | τό[τ]ε c lit V  6 γενόμεναι R  7 τε ν̅] ψ̅ε̅ V | καὶ τοῦ κ̅ om D  8 εὖ μάλιστα D  11 ἀθηναίων] ἀθηναίων ὡς ἐπολέμησαν . . . εὑρεῖν (iterantur p 182, 7—17). τῶν πελοποννησίων καὶ ἀθηναίων· D | οὐθὲν] ὅθεν D  12 οὐχὶ] οὐ D | καλαλειφθῆναι R[1] | τε om V | δεῖ post πιεσθῆναι traicit D  19 τοῦ post καὶ om D | τὸ δὲ D  22 γραφυρὰ V  24 πλατεῖα καὶ ἀσφαλῆ D  25 μικροὺς M

εἶναι χρόνους, οὐδὲ τὸ βραδὺ καὶ σταθερὸν φίλον αὐτῇ, ἀλλὰ κεκινῆσθαι βούλεται τὴν ὀνομασίαν καὶ φέρεσθαι θάτερα κατὰ θατέρων ὀνομάτων ὥσπερ τὰ ῥέοντα, καὶ συνυφάνθαι τὰ μόρια, ὡς μιᾶς λέξεως ὄρεξιν διατελεῖν εἰς δύναμιν· τοῦτο δὲ ποιοῦσιν αἱ τῶν ἁρμονιῶν ἀκρίβειαι· χρόνον οὐδένα αἰσθητὸν μεταξὺ ὀνομάτων περιλαμβάνουσαι· ἔοικέ τε κατὰ μέρος εὐητρίοις ὑφαῖς ἢ γραφαῖς συνεφθαρμένα τὰ φωτεινὰ τοῖς σκιεροῖς ἐχούσαις· εὔφωνά τε εἶναι βούλεται πάντα τὰ ὀνόματα καὶ λεῖα καὶ μαλακὰ καὶ παρθενωπά. τραχείαις δὲ συλλαβαῖς καὶ ἀντιτύποις ἀπέχθειαί που· τὸ δὲ θρασὺ πᾶν καὶ παρακεκινδυνευμένον δι' εὐλαβείας ἔχει· καὶ τὰ κῶλα δὲ τοῖς κώλοις εὖ συν- 113
υφάνθαι βούλεται καὶ πάντα εἰς περίοδον τελευτᾶν ὁρίζουσαν κῶλόν τε μῆκος ὃ μὴ βραχύτερον ἔσται μηδὲ μεῖζον τοῦ μετρίου, καὶ περιόδου μέτρον οὗ πνεῦμα τέλειον ἀνδρὸς κρατήσει. χρῆται δὲ καὶ ῥυθμοῖς οὐ τοῖς μεγίστοις, ἀλλὰ τοῖς μέσοις τε καὶ βραχυτέροις· καὶ τῶν περιόδων τὰς τελευτὰς εὐρύθμους εἶναι βούλεται καὶ βεβηκυίας ὡς ἂν ἀπὸ στάθμης, τἀναντία ποιοῦσα ἐν ταῖς τούτων ἁρμογαῖς ἢ ταῖς τῶν ὀνομάτων· ἐκεῖνα μὲν γὰρ συναλείφει, ταύτας δὲ διίστησι καὶ ὥσπερ ἐκ περιόπτου βούλεται φανερὰς εἶναι. σχήμασί τε οὐ τοῖς ἀρχαιοπρεπεστάτοις, ἀλλὰ τοῖς τρυφεροῖς καὶ θεατρικοῖς χρῆται· καὶ ὅλως τοὐ-

1 καὶ τὸ σταθερὸν M 2 κεκινεῖσθαι R, fort $D^{1}$ 5 ὄρεξιν (i e ὄψιν)] λῆξιν V | διατελεῖν iterat V 7 περιλαμβάνουσαί. τ'έοκέ τε D 9 σκιδροῖς D | εἶναι om V 10 ὀνόματα ὡς λεῖα V 11 ἀντιτύποισιν D | ἀπέχθειαί (i e ἀπέχθεταί) DR: ἀπέχεσθαί MV 15 μὴ ante βραχ. om R 18 βραχυτέραις D 20 ἀποστάθμης DR 22 ταύτας DR: ταῦτα MV 23 καὶ διίστησι R 24 οὐ] οὐχὶ R | ἀρχαιοπρεπεστέροις D



114 ναντίον ἔχει σχῆμα τῆς προτέρας. ἐποποιῶν μὲν οὖν ἔμοιγε κάλλιστα τουτονὶ δοκεῖ τὸν χαρακτῆρα ἐξεργάσασθαι Ἡσίοδος· μελοποιῶν δὲ Σαπφὼ καὶ μετ' αὐτὴν Ἀνακρέων καὶ Σιμωνίδης· τραγῳδοποιῶν δὲ μόνος Εὐριπίδης· συγγραφέων δὲ ἀκριβῶς μὲν οὐδείς, μᾶλλον δὲ τῶν πολλῶν Ἔφορός τε καὶ Θεόπομπος· ῥητόρων δὲ Ἰσοκράτης. θήσω δὲ καὶ ταύτης παραδείγματα τῆς ἁρμονίας, ποιητῶν μὲν προχειρισάμενος Σαπφώ, ῥητόρων δὲ Ἰσοκράτην. ἄρξομαι δὲ ἀπὸ τῆς μελοποιοῦ.

Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα,
παῖ Διὸς δολοπλόκε, λίσσομαί σε,
μή μ' ἄσαισι μηδ' ἀνίαισι δάμνα
πότνια θυμόν·

ἀλλὰ τύ δελφὲ πόκα τ' ἔρωτα
τὰς ἐμὰς αὐδὰς αἴοις· ἀπόλυ
ἔκλυες· πατρὸς δὲ δόμον λιποῖσα,
χρύσειον ἦλθες

115 ἅρμ' ὑποζεύξασα· καλοὶ δέ σ' ἄγον
ὠκέες στρουθοὶ περὶ γᾶς μελαίνας
πυκνὰ δινεῦντες πτέρ' ἀπ' ὠρανῶθερος διὰ μέσω.

αἶψα δ' ἐξίκοντο· τὺ δ' ὦ μάκαιρα
μειδιάσασ' ἀθανάτω προσώπω

1 μὲν om R 4 τραγωδιοποιῶν M 5 δὲ ἀκριβῶς om R 6 εὔφορός D 7 καὶ τούτοις V 9 τῆς] τοῦ D 11 ποικιλόφρων D ποικιλόφρον MR 12 δουλοπλόκε V 13 ἄσαισι DR$V^{2}$: ἄταισι M$V^{1}$ 15 τύ] τῦ D τὸ V | πόκατ' D 16 ἀπόλι M 17 λιποῦσα DR, fort M 20 γῆς R 21 ἀπωρανώθερος D, $V^{1}$ -θέρος R: ἀπ' ὠρανῶ αἰθέρος M αἰ supra θ add $V^{2}$ 22 μέσων R 23 ἐξίκοντο V: ἐξήκοντο DMR | τὺ] τί D

SISMANOGLIO MEGARO

ἤρε' ὄ τι δ' ἦν τὸ πέπονθα, κὤτι
δεῦρο κάλημι·

κὤτι γ' ἐμῷ μάλιστα θέλω γενέσθω
μαινόλα θυμῷ· τίνα δηὖτε πειθὼ
καὶ σαγήνεσσαν φιλότητα· τίς ὦ
Σαπφὼ δίκη·

καὶ γὰρ εἰ φεύγει ταχέως διώξει·
αἰ δὲ δῶρα μὴ δὲ καὶ τ' ἄλλα δώσει·
αἰ δὲ μὴ φιλεῖ, ταχέως φιλήσει·
κὤ εἰ καὶ θέλεις.

ἔλθέ μοι καὶ νῦν· χαλεπᾶν δὲ λῦσον 116
ἐκ μεριμνᾶν· ὅσα δέ μοι τελέσαι
θυμὸς ἰμέρει τέλεσον, σὺ δ' αὐτὰ
σύμμαχος ἔσο.

ταύτης τῆς λέξεως ἡ εὐέπεια καὶ ἡ χάρις ἐν τῇ συνεχείᾳ καὶ λειότητι γέγονε τῶν ἁρμονιῶν· παράκειται γὰρ ἀλλήλοις τὰ ὀνόματα καὶ συνύφανται κατά τινας οἰκειότητας καὶ συζυγίας φυσικὰς τῶν γραμμάτων· τὰ γὰρ φωνήεντα τοῖς ἀφώνοις συνάπτεται μικροῦ διὰ πάσης τῆς ᾠδῆς, ὅσα προτάττεσθαι καὶ ὑποτάττεσθαι πέφυκεν ἀλλήλοις κατὰ μίαν συλλαβὴν συνεκφερόμενα· ἡμιφώνων τε πρὸς ἡμίφωνα καὶ ἀφώνων καὶ φωνηέντων πρὸς ἄλληλα συμπτώσεις, αἳ διασαλεύουσι τοὺς ἤχους, ὀλίγαι πάνυ ἔνεισιν. εἰκότως δὴ γέγονεν εὔρους 117

1 κὤτε V κὤτι κα D 2 κάλλημι RV κάλλημην D 3 γενέσθαι R 4 δ' ἠὖτε D δήὖτε MV 6 σε ante σαπφὼ inseruit V¹ 7 φάγοι D 8 αἰ] οἱ D | καὶ om D 9 αἴ R αἶ D 10 κὤ] κὤ τ' M 11 ἐλθή D | χαλεπὰν D χαλεπὸν R 12 ὅσσα V 13 ἰμέρα D ἰμείρει R | αὐτῇ R 14 ἔσσο D 15 εὐεπῖα M² | χάρισιν τῇ V 17 γὰρ] δε R 24 ὀλίγαι] πολλ γαι sic V | ἔνεισιν DR: εἰσὶν MV | δὴ] δὲ D



τις ἡ λέξις καὶ μαλακή, τῆς ἁρμονίας τῶν ὀνομάτων μηδὲν ἀποκυματιζούσης τὸν ἦχον.

*Καὶ Σαπφοῦς μὲν ταῦτα· Ἰσοκράτους δὲ ἐκ τοῦ Ἀρεοπαγιτικοῦ τάδε·*

'Πολλοὺς ὑμῶν οἴομαι θαυμάζειν, ἥντινα ποτὲ
118 γνώμην ἔχων περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην, ὥσπερ τῆς πόλεως ἐν κινδύνοις οὔσης ἢ σφαλερῶς αὐτῇ τῶν πραγμάτων καθεστώτων, ἀλλ' οὐ πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημένης, εἰρήνην δὲ τὰ περὶ τὴν χώραν ἀγούσης καὶ τῶν κατὰ θάλατταν ἀρχούσης, ἔτι δὲ συμμάχους ἐχούσης πολλοὺς μὲν ἑτοίμους ἡμῖν ἤν τι δέοι βοηθήσοντας, πολὺ δὲ πλείους τοὺς τὰς συντάξεις ἐπιτελοῦντας καὶ τὸ προσταττόμενον ποιοῦντας· ὧν ὑπαρχόντων ὑμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶναι θαρρεῖν ὡς πόρρω τῶν κινδύνων ὄντας, τοῖς δ' ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι καὶ βουλεύεσθαι περὶ σωτηρίας. ὑμεῖς μὲν οὖν οἶδ' ὅτι τούτῳ χρώμενοι τῷ λογισμῷ καὶ τῆς ἐμῆς προσόδου καταφρονεῖτε καὶ πᾶσαν ἐλπίζετε τὴν Ἑλλάδα τῇ δυνάμει ταύτῃ κατασχήσειν· ἐγὼ δὲ δι' αὐτὰ ταῦτα τυγχάνω δεδιώς. ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας κάκιστα βουλευομένας, καὶ τὰς μάλιστα θαρρούσας εἰς πλεῖστον κίνδυνον καθισταμένας. αἴτιον δὲ τούτων ἐστίν, ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγίνεται τοῖς ἀνθρώποις, ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ τοῖς

3 ἰσοκράτης V 4 ἀρεοπαγικοῦ R 7 ἢ] οἳ MV 11 πολλοὺς μὲν om D 12 ἡμῖν om R 13 πολὺ R πολλοὶ DV: πολλῶ M | τὰς τάξεις D 14 καὶ τὸ προστ. ποι. om V 15 ἡμᾶς DR | εἶναι] ἦν R 16 δ'] δὲ R 17 βούλεσθε D 18 χρησάμενοι M 23 βουλομένας V

SISMANOGLIO MEGARO

μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια καὶ μετὰ 119 ταύτης ἀκολασία, ταῖς δὲ ἐνδείαις καὶ ταῖς ταπεινότησι σωφροσύνη καὶ πολλὴ μετριότης. ὥστε χαλεπὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις εὔξαιτο τούτων τῶν μερίδων τοῖς παισὶ τοῖς αὑτοῦ· ἴδοι γὰρ ἄν τις ἐκ μὲν τῆς φαυλοτέρας ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδιδούσας, ἐκ δὲ τῆς κρείττονος φαινομένης ἐπὶ τὸ χεῖρον εἰθισμένας μεταπίπτειν.'

Ταῦθ' ὅτι συνείληπταί τε καὶ συγκέχρωσται, καὶ οὐδὲν ἕκαστον ὄνομα ἐν ἕδρᾳ περιφανεῖ καὶ πλατείᾳ βέβηκεν οὐδὲ μακροῖς τοῖς μεταξὺ χρόνοις διείργεται καὶ διαβέβηκεν ἀπ' ἀλλήλων, ἀλλ' ἐν κινήσει φαίνεται καὶ ῥύσει συνεχεῖ, πραεῖαί τέ εἰσι καὶ συνάπτουσαι τὴν λέξιν ἁρμονίαι, τὸ ἄλογον ἐπιμαρτυρεῖ τῆς ἀκοῆς πάθος. ὅτι δ' οὐκ ἄλλα τινὰ τούτων ἐστὶν αἴτια ἢ τὰ προειρημένα ὑπ' ἐμοῦ περὶ τῆς ἀγωγῆς ταύτης τῶν λόγων, ῥᾴδιον ἐξ ἐκείνων ἰδεῖν.

24 Ἡ δὲ τρίτη καὶ μέση τῶν εἰρημένων ἁρμονιῶν 120 σχῆμα μὲν ἴδιον οὐδὲν ἔχει, κεκέρασται δὲ ὡς ἐξ ἐκείνων μετρίως. καὶ ἔστιν ἐκλογή τις τῶν ἐν ἑκατέρᾳ κρατίστων. ὧν αὕτη δοκεῖ μοι τὰ πρωτεῖα ἐπιτηδεία εἶναι φέρεσθαι, ἐπειδὴ μεσότης μέν τις ἐστί· μεσότης δὲ ἡ ἀρετὴ καὶ βίων καὶ ἔργων. ὁρᾶται δὲ οὐ κατὰ ἀπαρτισμόν, ἀλλὰ ἐν πλάτει, καὶ τὰς εἰδικὰς ἔχει δια- 121

2 ταπεινόστ[η]σι c lit V ταπεινότητι D 4 προτέραν D 5 παισὶν (om altero τοῖς) V | αὐτοῦ DR | ἴδοι γὰρ M ηδει γὰρ V uterque sine ἄν τις 6 ἐκ μὲν] μὲν ἐκ D 7 δὲ post κρείττονος ponit D 11 ὄνομα om R 12 χρόνον D 16 αἴτια ἐστὶν ἢ D 17 τὰ om R 18 ἰδεῖν . . . 20 ἐκείνων iterat V 19 εἰρημένων om D 20 οὐδὲν ἴδιον D 22 ἐπιτήδεια V cf 120, 16 23 μεσότητος μέν D 24 οὐ κατ' M οὐκ D 25 καὶ] ἀλλὰ R | ἰδικὰς R

SISMANOGLIO MEGARO



φορὰς πολλάς· οἵ τε χρησάμενοι αὐτῇ οὐ τὰ αὐτὰ πάντες οὐδ' ὁμοίως ἐπετήδευσαν.

Κορυφὴ μὲν οὖν ἁπάντων καὶ σκοπός,
ἐξ οὗ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι,

δικαίως ἂν Ὅμηρος λέγοιτο· πᾶς γὰρ αὐτῷ τόπος, ὅτου τις ἂν ἅψοιτο, ταῖς τε αὐστηραῖς καὶ ἀνθηραῖς ἁρμονίαις εἰς ἄκρον διαπεποίκιλται. τῶν δὲ ἄλλων ὅσοι τὴν αὐτὴν μεσότητα ἐπετήδευσαν, ὕστεροι μέντοι Ὁμήρου μακρῷ παρ' ἐκεῖνον ἐξεταζόμενοι φαίνοιντ' ἄν· καθ' ἑαυτοὺς δὲ εἰ θεωροίη τις αὐτούς, ἀξιοθέατοι· μελοποιῶν μὲν Στησίχορός τε καὶ Ἀλκαῖος, τραγῳδοποιῶν δὲ Σοφοκλῆς, συγγραφέων δὲ Ἡρόδοτος, ῥητόρων δὲ Δημοσθένης, φιλοσόφων δὲ κατ' ἐμὴν δόξαν Δημόκριτός τε καὶ Πλάτων καὶ Ἀριστοτέλης. τούτων γὰρ ἑτέρους εὑρεῖν ἀμήχανον ἄμεινον κεράσαντας τοὺς λόγους.

122 Ἐπὶ τούτοις ῥητέον, πῶς γίνεται λέξις ἄμετρος 25 ὁμοία καλῷ ποιήματι ἢ μέλει, καὶ πῶς ποίημα ἢ μέλος πεζῇ λέξει καλῇ παραπλήσιον. ἔστω δὲ παράδειγμα Δημοσθένης, ὃν ἐν τοῖς μάλιστα οἶμαι τὴν
123 ποιητικὴν ἐκμεμάχθαι φράσιν· τίς γὰρ οὐκ ἂν ὁμολογήσειε, τοῖς κρατίστοις ἐοικέναι ποιήμασί τε καὶ μέλεσι τοὺς Δημοσθένους λόγους, καὶ μάλιστα τοὺς φιλιππικοὺς καὶ τοὺς δικανικοὺς τοὺς δημοσίους; ὧν ἑνὸς τὸ προοίμιον τουτί·

Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με

1 αὐτῇ R: αὐτοὶ DMV 2 ἐπιτήδευσαν R, item 9 3 οὖν om DR[1] 7 τις om D | τε om R 9 ὕστερον V 11 θεωρείη D | αὐτοὺς DV: om MR 19 ὁμοία] ὁποῖα D[1] | ποίημα iterat R 20 καλῇ] καλεῖν V 22 ἐκμεμάχθαι] ἐκμάχεσθαι M 23 μελέσι D

μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεχ' ἥκειν Ἀριστοκρά-
τους κατηγορήσαντα τουτουί· μικρὸν ὁρῶντά τι καὶ
φαῦλον ἁμάρτημα ἑτοίμως οὕτω προάγειν ἐμαυτὸν
εἰς ἀπέχθειαν· ἀλλ' εἴπερ ἄρ' ὀρθῶς ἐγὼ λογίζομαι
καὶ σκοπῶ περὶ τοῦ Χερόνησον ἔχειν ὑμᾶς ἀσφαλῶς
καὶ μὴ παρακρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς,
περὶ τούτων ἔστι μοι νῦν ἅπασα ἡ σπουδή'.

Πειρατέον δὲ καὶ περὶ τούτων λέγειν, ἃ φρονῶ. 124
Πᾶσα λέξις ἡ δίχα μέτρου συγκειμένη ποιητικὴν ἢ
μελικὴν οἶμαι χάριν οὐ δύναται προσλαβεῖν κατὰ γοῦν
τὴν σύνθεσιν αὐτήν, ἐὰν μὴ περιέχῃ μέτρα καὶ ῥυθ- 125
μούς τινας ἐγκατατεταγμένους ἀδήλους. οὐ μέντοι
προσήκει γε ἔμμετρον οὐδ' ἔρρυθμον αὐτὴν εἶναι δο-
κεῖν· ποίημα γὰρ οὕτως ἔσται καὶ μέλος, ἀλλ' εὔρυθμον
αὐτὴν χρὴ καὶ ἔμμετρον φαίνεσθαι μόνον. οὕτω γὰρ
ἂν εἴη ποιητικὴ μέν, οὐ μὴν ποίημά γε· καὶ ἐμμελὴς
μέν, οὐ μέλος δέ. ἡ μὲν γὰρ ὅμοια παραλαμβάνουσα
μέτρα καὶ τεταγμένους σώζουσα ῥυθμοὺς καὶ κατὰ
στίχον ἢ περίοδον ἢ στροφὴν διὰ τῶν αὐτῶν σχημά-
των περαινομένη κἄπειτα πάλιν τοῖς αὐτοῖς ῥυθμοῖς
καὶ μέτροις ἐπὶ τῶν ἑξῆς χρωμένη καὶ τοῦτο μέχρι
πολλοῦ ποιοῦσα ἔρρυθμός ἐστι καὶ ἔμμετρος, καὶ ὀνό-
ματα αὐτῇ μέτρον καὶ μέλος· ἡ δὲ πεπλανημένα μέτρα
καὶ ἀτάκτους ῥυθμοὺς ἐμπεριλαμβάνουσα εὔρυθμος
μέν ἐστιν, ἐπειδὴ διαπεποίκιλται τισὶ ῥυθμοῖς, οὐκ

2 κατηγορήσαντα D¹R: κατηγορήσοντα D²MV 4 εἴπερ ἄρ' D εἴπερ ἄρ' R: εἴπερ MV 5 χερόννησον D χερρόνησον V 6 πάλιν] καὶ πάλιν D 7 πᾶσα R | ἡ om M 10 μελιτικὴν M | οὐ om D 12 τινας om V | ἀδήλους] ἀλλήλους D 13 γε προσήκει R | ἔρυθμον D εὔρυθμον V 14 οὕτως om D | εὔρυθμον—15 ἔμμετρον V εὔμετρον—ἔρρυθμον D ἔρρυθμον—ἔμμετρον MR 16 γε] τε D 21 τοῦτο] τοῦ M 22 et 191, 1 εὔρυθμος V 25 μέν om V

SISMANOGLIO MEGARO



ἔρρυθμος δέ, ἐπειδὴ οὐ τοῖς αὐτοῖς οὐδὲ κατὰ τὸ αὐτό.
τοιαύτην δή φημι πᾶσαν εἶναι λέξιν ἄμετρον, ἥτις
126 ἐμφαίνει τὸ ποιητικὸν καὶ μελικόν· ᾗ δὴ καὶ τὸν Δη-
μοσθένην κεχρῆσθαι φημί. αὐτίκα ἐπὶ τοῦ προτεθέν-
τος παραδείγματος ἄρχεται μὲν ἀπὸ ἀναπαιστικοῦ
στίχου τετραμέτρου· λείπεται δὲ ποδὶ τοῦ τελείου,
παρ' ὃ καὶ λέληθε· 'Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι,
νομίσῃ με'· τοῦτο γὰρ εἰ προσλάβοι πόδα, τέλειον
127 ἀναπαιστικὸν ἔσται, ὃ καλοῦσι τινὲς Ἀριστοφάνειον·
'Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με παρεῖναι'.
τοῦτο δὲ οὐκ ἐκ ταὐτομάτου γέγονεν, ἀλλ' ἐξ ἐπιτη-
δεύσεως· καὶ γὰρ καὶ τὸ συναπτόμενον τούτῳ κῶλον,
εἰ διαλύσειέ τις αὐτοῦ τὴν δευτέραν συναλοιφήν, ἣ
πεποίηκεν αὐτὸ ἄσημον ἐπισυνάπτουσα τῷ τρίτῳ κώλῳ,
πεντάμετρον ἐλεγειακὸν ἔσται συντετελεσμένον τουτί·
'μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεκα'. καὶ ἑνὸς δὲ τοῦ
μεταξὺ κώλου συγκειμένου λεκτικῶς τοῦ 'ἥκειν Ἀρι-
στοκράτους κατηγορήσαντα τουτουί', τὸ συμπλεκόμενον
τούτῳ πάλιν κῶλον Ἀριστοφάνειον ἐστί· 'μήτε μικρὸν
128 ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα ἑτοίμως οὕτως' τὸ
δ' ἀκόλουθον ἴσον ἐστὶν ἰαμβικῷ τριμέτρῳ τὸν ἔσχα-
τον ἀφῃρημένῳ πόδα· 'προάγειν ἐμαυτὸν εἰς ἀπέχθειαν'.
129 καὶ τὸ προσεχὲς πάλιν ἰαμβεῖόν ἐστι, καὶ τοῦτο τρί-
μετρον ὀρθόν· 'ἀλλ' εἴπερ ἄρ' ὀρθῶς ἐγὼ λογίζομαι',
τοῦ ἄρα συνδέσμου μακρὰν λαμβάνοντος τὴν προτέραν

1 οὐ τῆς αὐτῆς MV 7 παρὸ καὶ λέληθεν D 8 τοῦτο ... 10 νομίσῃ με om M 12 καὶ τὸ] τὸ D 13 εἰ διαλύσει ἔστιν αὐτοῦ D | συναλειφὴν D | ἣ] ἢ DR 14 τὸ τρίτον κῶλον τετράμετρον D 15 τετελεσμένον V om M 16 δὲ] δὴ D 17 λεκτικῶς τὸ D 18 κατηγορήσοντα MV 19 πάλιν om M | ἔστι D | μήτε] μὴ D 21 ἰάμβῳ R 23 τὸ om R 24 ἄρα D ἄρα ceteri 25 τοῦ ἄρα DR | μακρὸν D

συλλαβήν· καὶ ἔτι τὸ 'καὶ σκοπῷ' παρεμπεσὸν ἐπισκο-
τούμενον τὸ μέτρον ἠφάνισε. καὶ μηδεὶς ἄτοπον λο- 132
γίσαιτο, εἰ τοσαύτης δόξης ἀνὴρ ἐπὶ δεινότητι λόγων,
ἔργα συνταττόμενος αἰώνια καὶ διδοὺς ἑαυτὸν ὑπεύ-
θυνον τῷ πάντα βασανίζοντι χρόνῳ ἠβουλήθη μηδὲν
εἰκῇ μήτε πρᾶγμα παραλαμβάνειν μήτ' ὄνομα, ἄλλως
τε καὶ τῶν τότε ἀνθρώπων οὐ γραπτοῖς ἀλλὰ γλυπτοῖς
καὶ τορευτοῖς ἐοικότας ἐκφερόντων λόγους, λέγω δὲ 133
Ἰσοκράτους καὶ Πλάτωνος τῶν σοφιστῶν· ὃ μέν γε
τὸν πανηγυρικὸν λόγον, ὡς οἱ τὸν ἐλάχιστον χρόνον
γράφοντες, ἔτεσι δέκα συνετάξατο· ὁ δὲ Πλάτων τοὺς
ἑαυτοῦ διαλόγους κτενίζων καὶ βοστρυχίζων καὶ πάντα
τρόπον ἀναπλέκων οὐ διέλιπεν ὀγδοήκοντα γεγονὼς
ἔτη· γνώρισμα δὲ τούτου τά τε ἄλλα, καὶ δὴ καὶ τὰ
περὶ τὴν δέλτον, ἣν τελευτήσαντος αὐτοῦ λέγουσιν
εὑρεθῆναι ποικίλως μετακειμένην τὴν ἀρχὴν τῆς Πο-
λιτείας ἔχουσαν τήνδε· 'Κατέβην χθὲς εἰς Πειραιᾶ
μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος'. πολὺ γὰρ μᾶλλον
προσήκει τούτοις μηδενὸς τῶν ἐλαχίστων ὀλιγωρεῖν ἢ
ζωγράφοις καὶ τορευταῖς περὶ τὰ φλεβία καὶ τὰ πτίλα
καὶ τὸν χνοῦν καὶ τὰς τοιαύτας μικρολογίας κατατρί- 134
βειν τὴν τῆς τέχνης ἀκρίβειαν. μειράκιον μὲν οὖν
ὄντα αὐτὸν καὶ νεωστὶ τοῦ μαθήματος ἁπτόμενον οὐκ
ἄλογον πάντα περισκοπεῖν, ὅσα δυνατὰ ἦν εἰς ἐπιτή-
δευσιν ἀνθρωπίνην πεσεῖν· ἐπειδὴ δὲ ἡ χρόνιος ἄσκη-
σις ἰσχὺν πολλὴν λαβοῦσα τύπους τινὰς ἐν τῇ διανοίᾳ

1 τὸ σκοπῷ R 3 δόξης om M 4 συναπτόμενος M | ἑαυτὸν om R 8 ἐκφερόντων om D 9 ὃ] οἱ D 11 συνετάξετο R 12 βοστρυχίδων D[1] 17 πειρεᾶ RV 20 καὶ τορευταῖς] κατατορ. R | φλεβεῖα R βλεμμία V 21 διατρίβειν D 22 οὖν om R 24 δυνατὰ . . . 25 ἀνθρ.] εἰς ἀνθρ. ἦν ἐπιτήδευσιν δυνατὰ D 25 ἡ V: οἱ DMR | χρόνιος] χρόνοι ὡς libri 26 πολλὴν ἰσχὺν λαμβάνουσα M | πολὺν D

SISMANOGLIO MEGARO



παντὸς τοῦ μελετωμένου καὶ σφραγῖδας ἐνεποίησεν,
ἐκ τοῦ ῥᾴστου καὶ ἀπὸ τῆς ἕξεως αὐτὰ ᾔδει ποιεῖν.
οἷόν τι γίνεται κἂν ταῖς ἄλλαις τέχναις, ὧν ἐνέργειά
τις ἡ ποίησις τὸ τέλος· καὶ ἡμεῖς δὲ τὰ γράμματα
135 παιδευόμενοι πρῶτα μὲν τὰ ὀνόματα αὐτῶν ἐκμανθά-
νομεν, ἔπειτα τοὺς τύπους καὶ τὰς δυνάμεις, εἶθ'
οὕτω τὰς συλλαβὰς καὶ τὰ ἐν ταύταις πάθη, καὶ μετὰ
τοῦτο ἤδη τὰς λέξεις καὶ τὰ συμβεβηκότα αὐταῖς,
ἐκτάσεις τε καὶ συστολὰς καὶ προσῳδίας καὶ τὰ παρα-
πλήσια· ὅταν δὲ τούτων τὴν ἐπιστήμην λάβωμεν, τότε
ἀρχόμεθα γράφειν τε καὶ ἀναγινώσκειν κατὰ συλλαβάς·
καὶ βραδέως τὸ πρῶτον, ἐπειδὰν δὲ ὁ χρόνος ἀξιόλο-
γος προσελθὼν τύπους ἰσχυροὺς αὐτῶν ἐν ταῖς ψυ-
χαῖς ἡμῶν ποιήσῃ, τότε ἀπὸ τοῦ ῥᾴστου δρῶμεν αὐτά,
καὶ πᾶν ὅ τι ἂν ἐπιδῷ τις βιβλίον, ἀπταίστως διερχό-
μεθα ἕξει τε καὶ τάχει ἀπίστῳ. τοιοῦτο δὴ καὶ περὶ τὴν
σύνθεσιν τῶν ὀνομάτων γίνεται παρὰ τοῖς ἀθληταῖς
τοῦ ἔργου· τοὺς δὲ τούτου ἀπείρους θαυμάζειν καὶ
ἀπιστεῖν οὐκ ἄλογον.-

Περὶ δὲ τῆς ἐμμελοῦς καὶ ἐμμέτρου συνθέσεως τῆς 26
ἐχούσης πολλὴν ὁμοιότητα πρὸς τὴν πεζὴν λέξιν, πρώτη
136 μέν ἐστιν αἰτία κἀνταῦθα ἡ τῶν ὀνομάτων ἁρμογή·
δευτέρα δὲ ἡ τῶν κώλων σύνθεσις· τρίτη δὲ ἡ τῶν
περιόδων ἐμμετρία. τὸν δὴ βουλόμενον ἐν τούτῳ τῷ
μέρει κατορθοῦν δεῖ τὰ τῆς λέξεως μόρια * * * συμμέτρως
μὴ συναπαρτίζοντα τοῖς στίχοις, ἀλλὰ διατέμνοντα τὸ

1 σφραγίδας MRV 2 ᾔδει] ἤδη M 3 οἷόν τε M | κἂν] καὶ M | ἐνάργειά M 4 ἡ libri pro ἢ | τὰ πράγματα V 7 οὕτως R 9 ἐκστάσεις D 11 κατὰ τὰς συλλ. V 13 προελθὼν D[2] 14 δράμωμεν R 16 τε καὶ] τε D 18 τοὺς—ἀπείρους DR: τοῖς—ἀπείροις MV 20 s τῆς ἐχούσης π. ὁμοιότητα om D 25 hiatum indicaui cf 136, 5

μέτρον, ἄνισά τε ποιεῖν αὐτὰ καὶ ἀνόμοια· πολλάκις δὲ καὶ εἰς κόμματα συνάγειν βραχύτερα κώλων· τάς τε περιόδους μήτε ἰσομεγέθεις μήτε ὁμοιοσχήμονας τάς γοῦν παρακειμένας ἀλλήλαις ἐργάζεσθαι· ἔγγιστα γὰρ φαίνεται λόγοις τὸ περὶ τοὺς ῥυθμοὺς καὶ τὰ μέτρα πεπλανημένον· παράδειγμα τούτων 138

Αὐτὰρ ὅ γ' ἐγ λιμένος προσέβη τρηχεῖαν ἀταρπόν·

ἓν μὲν δὴ τοῦτο κῶλον. ἕτερον δέ

χῶρον ἀν' ὑλήεντα

ἔλαττόν τε τοῦ προτέρου, καὶ δίχα τέμνον τὸν στίχον· τρίτον δέ

δι' ἄκριας

κομμάτιον· τέταρτον δέ

οἷ οἱ Ἀθήνη
πέφραδε δῖον ὑφορβόν

ἐξ ἡμιστιχίων δύο· ἔπειτα τὸ τελευταῖον 139

ὅ οἱ βιότοιο μάλιστα
κήδετο οἰκήων· οὓς κτήσατο δῖος Ὀδυσσεύς

ἀτελῆ μὲν τὸν τρίτον ποιοῦν στίχον, τοῦ δὲ τετάρτου τῇ προσθήκῃ τὴν ἀκρίβειαν ἀφῃρημένον. τὰ δ' αὐτὰ νοητέον κἀν τοῖς ἰαμβικοῖς καὶ τοῖς ἄλλοις μέτροις· ὧν παρὰ τοῖς τραγικοῖς μυρία τὰ παραδείγματα.

Τοιαῦτα δ' ἐστὶ τὰ ὅμοια τοῖς καλοῖς λόγοις μέτρα 142 καὶ μέλη, διὰ ταύτας γινόμενα τὰς αἰτίας.

2 καὶ εἰς om D 3 περιόδους μήτε om D 6 παράδειγμα δὲ τ. D 7 ἐγ V: ἐκ DMR | τραχεῖαν R | ἀτραπὸν D 9 ὑλήοεντα R 12 ἄκρας DR ἄκρ spatio relicto V 14 οἷ DR: ὅν M om V | ἀθήνα MV 16 ἡμιστίχων R 19 μὲν] μὲν γὰρ D μὲν οὖν R | ποιοῦντα D 20 ἀφηρημένου MV 24 μιχαῆλος ἀποστόλιος βυζάντιος, καὶ τόδε μισθῷ ἐξέγραψε πενίᾳ συζῶν· subscribit V

---

SISMANOGLIO MEGARO

# ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

## ΤΩΝ ΠΕΡΙ ΜΙΜΗΣΕΩΣ

### ΤΑ ΣΩΙΖΟΜΕΝΑ

Epitomae (fr. VI p. 202—214)

exempla

P codex Parisiensis 1741
M codex Venetus Marcianus 508
V codex Monacensis n. 170 ex libris P. Victorii
s editio princeps H. Stephani 1554

---

SISMANOGLIO MEGARO

# ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

## ΠΕΡΙ ΜΙΜΗΣΕΩΣ

## Α

τούτων ὁ μὲν πρῶτος αὐτὴν περιείληφε τὴν περὶ τῆς μιμήσεως ζήτησιν Dionysius

## I

*Ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν* 26 *πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν.*

Doxopater in Walzii rhetoribus t VI p 17, 9 (cf proleg in Aphthonium in Montefalconii Bibliotheca Coislin p 593 et proleg in Hermogenem t IV p 25, 31) ὕστερον δ' ἐπὶ Καίσαρος Αὐγούστου Διονύσιος ὁ μέγας ὁ τῆς ἡμετέρας τέχνης καθηγητὴς καὶ πατὴρ ἀγαθὸς γενόμενος, ἀπὸ Ἁλικαρνασοῦ τὸ γένος καταφέρων, ὡρίσατο τὴν ῥητορικὴν νουνεχῶς καὶ προσηκόντως εἰρηκώς· Ῥητορική...λέγειν. οὗτος τοίνυν ὁ ὅρος ἐκρίθη καλῶς τε ἔχειν καὶ μάλα σοφῶς· οὔτε γὰρ ἐλλείπει οὔτε πλεονάζει, ἀλλὰ καὶ τὰ ἰδιώματα τῶν ὁρισμῶν ἔχει, λέγω δὴ τὸ ἐκ γένους καὶ συστατικῶν διαφορῶν καὶ ἰδιοτήτων συνεστάναι. διὰ γὰρ τοῦ εἰπεῖν δύναμις ἐσήμανε τὸ γένος, ἔστι γὰρ δύναμις καὶ ἔντεχνος καὶ ἄτεχνος· διὰ δὲ τοῦ τεχνική τὴν διαφοράν. ἑτέραν

2 cf Spengelius in mus Rhen t XVIII p 524 3 discrepat unus Maximus Planudes infra p 199, 2 9 συνεχῶς C(oislinianus 387) | προσηκόντως C προσεχόντως W(alzius t VI p 17) 11 τε om C | καὶ ἐδοκιμάσθη μάλα σοφῶς W om C: expunxi glossema uerbi ἐκρίθη 13 διὰ] hinc accedunt P(rolegomena t IV p 25, 31) 14 δύναμις post 15 ἄτεχνος traicit C | καὶ om P

δὲ διαφορὰν ἐπιτίθησιν εἰρηκὼς πιθανοῦ λόγου. εἶτα ἐπειδὴ οὐ μόνον ὁ ῥήτωρ ἔχει τὸ πιθανόν, ἀλλὰ καὶ ἰατρικὴ καὶ γεωμετρική (καὶ γὰρ καὶ ἐπὶ τούτων τὰς ἀποδείξεις οὐκ ἀπιθάνους δεῖ προφέρειν ἀλλὰ πιθανάς), προσέθηκεν ἰδικώτατόν τι τῆς ῥητορικῆς, ὃ ἄλλη τέχνη ἔχειν οὐ δύναται· τί δὴ τοῦτο; ἐν πράγματι πολιτικῷ. πρόσκειται δὲ τῷ ὅρῳ τὸ τέλος ἔχουσα τὸ εὖ λέγειν· πᾶν γὰρ ὃ μὴ τέλος ἔχει ⟨τὸ⟩ εὖ καὶ καλῶς ἢ κακοτεχνία ἐστὶν ἢ ψευδοτεχνία ἢ ματαιοτεχνία.

prolegomena statuum Hermog t VII p 15, 3 (et apud Spengelium Art script p 218, 7) καὶ οὗτοι μὲν οὕτως πρὸς ἀπέχθειαν καὶ ἡδονὴν ὁρίζονται. Διονύσιος δὲ ἐπιγενόμενος ὁ Ἁλικαρνασεὺς καὶ τῶν μὲν τὴν χάριν οὐκ ἀποδεξάμενος, τῶν δὲ τὴν λοιδορίαν μισήσας ὅρον αὐτῇ τὸν οἰκεῖον ἀπέδωκεν εἰπών· Ῥητορική . . . λέγειν.

epitome artis in Walzii corpore t III p 611 Ῥητορική ἐστι τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. ἢ κατὰ τὸν Διονύσιον ῥητορική . . . λέγειν.

Doxopater in Aphthonium ibid t II p 104, 7 ὁρίζεται δὲ πάλιν αὐτὴν Διονύσιος ὁ Θρᾷξ οὕτω· ῥητορική . . . λέγειν. ἀλλὰ καὶ οὗτος ⟨ὁ ὅρος⟩ κακίζεται, διότι τέλος ἐν αὐτῷ ἀποδέδοται τῆς ῥητορικῆς ὅπερ οὐκ αὐτῆς μόνης ἀλλὰ καὶ τῶν ἄλλων τινῶν, δέον ὂν μήτε ἑνὸς πράγματος πολλὰ τέλη ἀποδίδοσθαι μήτε πολλῶν ἕν.

Maximus Planudes proleg rhet ibid t V p 213, 22 (in Spengelii Art script p 223, 29) Διονύσιος δὲ ὁ Ἁλικαρνασσεὺς οὕτως·

2 μόνος P | καὶ ἰατρικὴ καὶ γεωμετρική CP: articulos adicit W 3 καὶ ἐπὶ τούτων C καὶ P: om W | τὰς ἀποδείξεις post 4 προφέρειν collocat C | ἀπιθάνως P 4 προσφέρειν P | ἀλλὰ πιθανάς W: om CP | προσέθηκεν P: ἐπεὶ (l ἐπὶ) γοῦν τῷ πιθανῷ προσέθηκεν W 6 δὲ om P | τὸ] καὶ τὸ C 7 τὸ inserui | εὖ καὶ καλῶς WP: καλὸν C 8 ordinem C seruauit: ἢ ματαιοτεχνία ἐστὶν ἢ κακοτ. ἢ ψευδοτ. WP 13 ἀποδέδωκεν cod Monacensis Spengelii 19—p 199, 6 haec duo testimonia minus accurata 20 Θρᾷξ] hic error Spengelium l s p 523 mouere non debebat, ut Doxopatri testimonium a ceteris separaret, nec magis πιθανοῦ (p 197, 2) in διὰ corruptum

SISMANOGLIO MEGARO



δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. ἀλλὰ δοκεῖ τῶν λοιπῶν ἄμεινον ὁρίσασθαι τὴν ῥητορικὴν ὁ οὕτως ὁρισάμενος· ῥητορική ἐστι τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον.

Sopater proleg in Hermog t V p 17, 17 Λολλιανὸς δὲ κάλλιστον ὅρον τοῦτον ῥητορικῆς τίθησιν· δύναμις τεχνικὴ . . . λέγειν. ἔστι γὰρ δύναμις τὸ γένος, διὸ προσέθηκε λόγου· εἶτα ἐπειδὴ καὶ οἱ φιλόσοφοι ἔχουσι λόγους, προσέθηκε πιθανοῦ· ἐκεῖνοι γὰρ οὐ πιθανοὺς ἔχουσιν ἀλλ᾽ ἀληθεῖς. ἐπειδὴ δὲ καὶ οἱ ἰατροὶ πολλάκις ἔχουσι λόγου πιθανοῦ δύναμιν, προσέθηκεν ἐν πράγματι πολιτικῷ. πρὸς δὲ τὸν κοινὸν λόγον, ὃν ⟨οὐ⟩ μαθόντες ἔχουσι λόγον πιθανὸν ἐνίοτε, προσέθηκε τὸ τεχνική· τέχνῃ γὰρ οἱ ῥήτορες λέγουσιν.

prolegomena rhet ibid t IV p 25, 6 εἴπωμεν δὲ τὸν ὅρον τῶν λεγόντων αὐτὴν τέχνην. ἔστι δὲ οὗτος· ῥητορική . . . λέγειν.

scholia in Aphthonium ibid t II p 2, 1 Τί ἐστι ῥητορική; δύναμις . . . λέγειν.

synopsis rhet ibid t III p 461, 19 Ὅρος ῥητορικῆς ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου διὰ τὴν τεκτονικὴν καὶ τὰς ἄλλας πραγματείας καὶ βαναύσους τέχνας· ἐν πράγματι πολιτικῷ διὰ τὴν γραμματικὴν καὶ διαλεκτικήν, ὧν ἣ μὲν περὶ τόν τε χρόνον ⟨καὶ τόνον καὶ⟩ πνεύματα καὶ πάθη λόγων, ἣ δὲ περὶ πάντα· τέλος ἔχουσα τὸ εὖ λέγειν κατὰ τὸ ἐνδεχόμενον τοῦτο ἐκ τοῦ τέλους παρείληπται· οὐ

2 discrepantia extremae definitionis ex proxima definitione tracta est cf u 5 et supra p 198, 17 | πιθανῶς] καλῶς duo codices Veneti 3—6 a Spengelio non adferuntur 7 quanta auctoritate definitio Dionysii fuerit, hinc uideas quod Lollianus ea ut sua usus est. etiam Sopatri ipsius definitionem apparet illinc refictam esse l s p 17, 5 cf t VII p 34, 7 δύναμις λογικὴ ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ εὖ λέγειν 12 λόγους πιθανούς, δύναμιν edebatur 14 negationem praecedente uocula absumptam restitui 17 prolixam et ineptam definitionis interpretationem p 25, 9—31 non referebat exscribi 25 τε] γε edebatur | καὶ τόνον καὶ inserui

γὰρ πανταχοῦ πείθει ὁ ῥήτωρ, ἀλλ' ἔσθ' ὅτε καὶ ἀποτυγχάνει· δεῖ μέντοι τοῦτον τὰ πείθειν πεφυκότα διεξιέναι.

## II

27 τρία ταῦτα τὴν ἀρίστην ἡμῖν ἔν τε τοῖς πολιτικοῖς λόγοις ἕξιν καὶ ἐν πάσῃ τέχνῃ τε καὶ ἐπιστήμῃ χορηγήσει· φύσις δεξιά, μάθησις ἀκριβής, ἄσκησις ἐπίπονος· ἅ περ καὶ τὸν Παιανιέα τοιοῦτον ἀπειργάσατο.

Syrianus in Hermogenis status p 4, 19 Rab (t IV p 40 adn 6 Walzii cf Morellii bibliothecae manuscriptae t I p 299) ἀκολούθως δὲ τῷ θείῳ Πλάτωνι καὶ Διονύσιος ὁ πρεσβύτερος ἐν τῷ πρώτῳ τῶν Περὶ μιμήσεως φησίν, ὅτι τρία ταῦτα ... ἀπειργάσατο. πῶς οὖν ἥ τε τῶν ἀληθῶν καὶ δικαίων γνῶσις, ἔτι δὲ ἐπιστήμη τε καὶ μελέτη γενήσεται τῶν καλῶν ἀνδρὶ τὸ λαλεῖν ἐκ τοῦ λαλεῖν ἐπιτηδεύοντι κτλ.

scholia mixta Aldi et Walzii t IV p 41, 1 ἀλλὰ δὴ καὶ Διονυσίου τοῦ Ἁλικαρνασσέως τρία ταῦτα διατεινομένου τὴν ἀρίστην ἕξιν ἐν πολιτικοῖς λόγοις ἐμποιεῖν καὶ πάσῃ τέχνῃ τε καὶ ἐπιστήμῃ· μάθησιν ἀκριβῆ, φύσιν δεξιάν, ἄσκησιν ἐπίπονον· διὸ καὶ Δημοσθένης ἐν μὲν δικανικῷ καὶ συμβουλευτικῷ εὐδοκίμει, ἧττον δ' ἐν τῷ πανηγυρικῷ διὰ τὸ ἀτρεκὲς καὶ ἀμελέτητον.

## III

28 μίμησίς ἐστιν ἐνέργεια διὰ τῶν θεωρημάτων ἐκματτομένη τὸ παράδειγμα.

ζῆλος δέ ἐστιν ἐνέργεια ψυχῆς πρὸς θαῦμα τοῦ δοκοῦντος εἶναι καλοῦ κινουμένη.

Syrianus in Hermog de formis p 3, 16 Rab (t VII p 865, 8 Walzii cf Morellii bibl manuscr p 303) Διονύσιος μὲν ἐν τῷ πρώτῳ Περὶ μιμήσεως ὁρίζεται τὴν μίμησιν οὕτως· μίμησίς ... παράδειγμα. ὡς δὲ οἱ μεταγενέστεροι λέγουσιν, λόγος ἢ πρᾶξις ὁμοίωσιν εὖ ἔχουσαν τοῦ παραδείγματος περιέχουσα. ζῆλος δέ ... κινουμένη.

10 Πλάτωνι Phaedri p 269[d] 11 τῶν Messanensis: τίτλῳ Venetus 14 τὸ ex τῶ corr Venetus 20 δ' ἐν] δὲ libri 24 ζήλου definitionem ad eundem auctorem referendam esse res ipsa clamat

SISMANOGLIO MEGARO



Maximus Planudes ibid t V p 440, 5 Διονύσιος μὲν τὴν μίμησιν οὕτως ὁρίζεται· μίμησίς ... παράδειγμα· οἱ δὲ μεταγενέστεροι οὕτω· λόγος .... κινουμένη.

cf [Dionysius] art rhet X 19 p 394 ἔτι δὲ καὶ τὴν παλαιότητα μὴ ἐν τῇ θέσει τῶν βυβλίων νομίζωμεν εἶναι, ἀλλ' ἐν τῇ χρήσει τῆς ὁμοιότητος. μίμησις γὰρ οὐ χρῆσίς ἐστι τῶν διανοημάτων, ἀλλ' ἡ ὁμοία τῶν παλαιῶν ἔντεχνος μεταχείρισις· καὶ μιμεῖται τὸν Δημοσθένην οὐχ ὁ τὸ <Δημοσθένους λέγων ἀλλ' ὁ> Δημοσθενικῶς, καὶ τὸν Πλάτωνα ὁμοίως καὶ τὸν Ὅμηρον. καὶ πᾶσα μίμησις ὧδε ἔχει· τέχνης ζῆλος ἐκμάττων ἐνθυμημάτων ὁμοιότητα. μακρότερος ὁ περὶ μιμήσεως λόγος, ὃν ἀλλαχῇ μεταχειριούμεθα.

## IV

Vita Epiphanii p 336[c] Petauii (t I 25, 20 Dind) ἔλεγεν γὰρ Διονύσιος ὁ Ἁλικαρνασσεύς, ὅτι πρόσωπα προσώποις ἀλλήλως θεωρούμενα ἢ καλλιστεύειν δύνανται ἢ * * *. κακοὶ καλοῖς συμφυρέντες ἐν ἑνὶ ξύλῳ ταννσθήσονται. οὐδεὶς γὰρ ἀνθρώπων ἕνα χιτῶνα φορῶν ἀνάξαντον τὸ σῶμα διαφυλάξει. ἡ γὰρ πλείστη συντυχία πλείστους λόγους παρέχει· ὅπου δὲ πλεῖστοι λόγοι, πολυπειρία πραγμάτων διαφόρων. 29

## V

Syrianus in Hermog de formis p 5, 25 Rab (t VII 2 p 868, 8 Walzii cf Morellii bibl manuscr p 303) ἔτι γε μὴν καὶ Διονύσιος πρὸς τῷ τέλει τοῦ ᾱ βυβλίου τῶν Περὶ μιμήσεως περὶ προαιρέσεώς τε καὶ δυνάμεως τῆς περὶ λόγους διεξιὼν ἔφη 30

1 μεταγενέστεροι] philosophos nescio quos dicit 6 reliqua ad uerbum cum Syriano consentiunt 7 librorum lectio infra suo loco proponetur 17 cumulantur sententiae ex Dionysio excerptae, particulis male coniunctae 18 s de sententia cf infra p 221, 15 s | ἀλλήλοις traditur 19 ἢ κακοὶ traditur | fort καλοὶ κακοῖς 27 ᾱ] Δ' Venetus τετάρτον Messanensis, scholia. caecutiebat Walzius t V p 444 s | βιβλίου traditur | τῶν] τῶ Monacensis 28 λόγους Messanensis: λόγον Venetus

*τῆς μὲν δυνάμεως τὴν κυριωτάτην εἶναι μοῖραν ἐν τῇ φύσει, ἣν οὐκ ἐφ' ἡμῖν ἔστιν οἵαν ἀξιοῦμεν ἔχειν· τῆς δὲ προαιρέσεως οὐδὲν μέρος ἐστὶν οὗ μὴ τὴν ἐξουσίαν ἡμεῖς ἔχομεν.*

*καὶ ἔοικεν ὁ τεχνογράφος ἐπιμελῶς ἐκείνοις ἐντετυχηκὼς καὶ αὐτὸς οὐκ ἐφ' ἡμῖν ὠνομακέναι τὴν φύσιν.*

scholia mixta ibid *ἔτι γε μὴν καὶ Διονύσιος πρὸς τῷ τέλει τοῦ τετάρτου βυβλίου τῶν Περὶ μιμήσεως προαιρέσεώς τε καὶ δυνάμεώς φησι τὴν κυριωτάτην κτλ.*

In [Syriani] i e Phoebammonis ad Hermogenem *περὶ ἰδεῶν* prolegomenis quae p 98, 20—108, 2 Rab disputantur, pleraque ex hoc primo Dionysii libro petita esse facile tibi persuadeas.

## *B*

*ὁ δὲ δεύτερος περὶ τοῦ τίνας ἄνδρας μιμεῖσθαι δεῖ ποιητάς τε καὶ φιλοσόφους, ἱστοριογράφους ⟨τε⟩ καὶ ῥήτορας* Dionysius

## VI

31 I *Ὅτι δεῖ τοῖς τῶν ἀρχαίων ἐντυγχάνειν συγγράμ-* 415
*μασιν, ἵν' ἐντεῦθεν μὴ μόνον τῆς ὑποθέσεως τὴν ὕλην*
*ἀλλὰ καὶ τὸν τῶν ἰδιωμάτων ζῆλον χορηγηθῶμεν.* | *ἡ* 416
*γὰρ ψυχὴ τοῦ ἀναγινώσκοντος ὑπὸ τῆς συνεχοῦς παρατηρήσεως τὴν ὁμοιότητα τοῦ χαρακτῆρος ἐφέλκεται. ὁποῖόν τι καὶ γυναῖκα ἀγροίκου παθεῖν ὁ μῦθος λέγει·*

2 *ἣ* Messanensis | *ἔστιν*] *εἶναι* uolgabatur | *οἷον* Messanensis 5 *ὁ τεχνογράφος*] Hermogenes de formis I 1 t III p 190 Walz *κράτιστον μὲν γὰρ εἰ καὶ τὰ τῆς φύσεως συλλαμβάνοιτο (πλεῖον γὰρ ἂν οὕτως ἀγαθόν τις ἐργάσαιτο)· εἰ δὲ μή, ἀλλ' ὅ γε μαθητόν ἐστι καὶ διδακτόν, οὐκ ἐν ἄλλοις ἐφ' ἡμῖν δὲ ὄν, πειρατέον κτᾶσθαι· τάχα γὰρ ἂν οὕτω καὶ τοὺς εὖ πεφυκότας οἱ μὴ τοιοῦτοι μελέτῃ καὶ τῇ κατ' ὀρθὸν ἀσκήσει παρέλθοιεν* 18 *Ἔτι* s | *τῶν παλαιῶν* s 20 fort *καὶ τῶν ἰδιωμάτων τὸν ζῆλον* | *ἢ καὶ* V 21 *τοῦ γινώσκοντος* libri: corr s 23 *λέγειν* V

SISMANOGLIO MEGARO



*ἀνδρί, φασί, γεωργῷ τὴν ὄψιν αἰσχρῷ παρέστη δέος, μὴ τέκνων ὁμοίων γένηται πατήρ· ὁ φόβος δὲ αὐτὸν οὗτος εὐπαιδίας ἐδίδαξε τέχνην. καὶ εἰκόνας παραδείξας εὐπρεπεῖς εἰς αὐτὰς βλέπειν εἴθισε τὴν γυναῖκα· καὶ μετὰ ταῦτα συγγενόμενος αὐτῇ τὸ κάλλος εὐτύχησε τῶν εἰκόνων. οὕτω καὶ λόγων μιμήσεσιν ὁμοιό-*
417 *της τί|κτεται, ἐπὰν ζηλώσῃ τις τὸ παρ' ἑκάστῳ τῶν παλαιῶν βέλτιον εἶναι δοκοῦν καὶ καθά περ ἐκ πολλῶν ναμάτων ἕν τι συγκομίσας ῥεῦμα τοῦτ' εἰς τὴν ψυχὴν μετοχετεύσῃ. καί μοι παρίσταται πιστώσασθαι τὸν λόγον τοῦτον ἔργῳ· Ζεῦξις ἦν ζωγράφος, καὶ παρὰ Κροτωνιατῶν ἐθαυμάζετο· καὶ αὐτῷ τὴν Ἑλένην γράφοντι γυμνὴν γυμνὰς ἰδεῖν τὰς παρ' αὐτοῖς ἐπέτρεψαν παρθένους· οὐκ ἐπειδή περ ἦσαν ἅπασαι καλαί, ἀλλ' οὐκ εἰκὸς ἦν ὡς παντάπασιν ἦσαν αἰσχραί· ὃ δ' ἦν ἄξιον παρ' ἑκάστῃ γραφῆς, ἐς μίαν ἠθροίσθη σώματος εἰκόνα, κἀκ πολλῶν μερῶν συλλογῆς ἕν τι συνέθηκεν ἡ τέχνη τέλειον [καλὸν] εἶδος. τοιγαροῦν*

1 *φησὶ* PMVs. cf Bochartus Hierozoicon II 49 p 545 s Heusdeni 2 *δ'* edunt 3 *εὐπαιδείας* PM *εὐπαιδεῖας* V: corr s | *παραδείξας*] *πλέξας* PM, *πλάσας οἶμαι* ut coniecturam supra *πλέξας* scripsit M: *πλάσας οἶμαι* s *πλάσας* V 4 *εἰς* P: *ὡς* MVs | *ἤθ[ι]σε* cum litura (ex *ἤθησε*?) P 6 *ἐκγόνων* ci Sylburgius | *μιμήσεων* libri, cf mus Rhen XXIII 161. *μιμήσεως* ci Sylburgius *μιμήσει· ὧν* Rutgersius uar lect II 10 p 120 glossema putabat Holwellus 7 *τὸ* P: *ὃ* MVs | *ἑκάστω* iota non adscripto P 8 *παλαιῶν . . . καθά περ ἐκ* om V | *παλ(αιῶν)* cum conpendio P: *πολλῶν* Ms | *δοκοῦν* P: *δοκεῖ* Ms | *καὶ* P: om Ms 9 *ἕν τι* P: *εἴ τις* MVs | *συγκομίσας* P: *κομίσας* MVs. cf Plut ad principem ineruditum 1 p 779ᶠ *Θεόπομπος εἰς ἑτέρους τὸ τῆς ἀρχῆς ὥςπερ ῥεύματος μεγάλου ῥεῖθρον παροχετευσάμενος, ὅσον ἄλλοις ἔδωκεν, ἑαυτοῦ περιέκοψεν* | *τοῦτ'* P: *τοὺς* MV *τι* s 10 *μετοχετεύσει* MVs 11 cf infra p 214, 4 13 *ἔπεμψαν* PMVs: corr Kiesslingius mus Rhen XXIII 252 14 *οὐκ . . . 17 εἰκόνα* om s 17 *συλλογῆς ἕν τι*] *συλλογίσαντι* libri 18 *καλόν. ἰδοὺ* PMs *καλόν. εἰδὸν* V: corr Kiesslingius, cf

πάρεστι καὶ σοὶ καθά περ ἐν θεάτρῳ παλαιῶν σωμά-
των ἰδέας ἐξιστορεῖν καὶ τῆς ἐκείνων ψυχῆς ἀπανθί-
ζεσθαι τὸ κρεῖττον, καὶ τὸν τῆς πολυμαθείας ἔρανον
συλλέγοντι οὐκ ἐξίτηλον χρόνῳ γενησομένην εἰκόνα
τυποῦν ἀλλ' ἀθάνατον τέχνης κάλλος.

* * ἐάν τ' ἐκδήλους καὶ σαφεῖς τοῖς ἀκροωμένοις 418
τὰς ἐκλογὰς ἔχῃ τὸ μίμημα.

II Τῆς μὲν οὖν Ὁμηρικῆς ποιήσεως οὐ μίαν τινὰ
τοῦ σώματος μοῖραν, ἀλλ' ἐκτύπωσαι τὸ σύμπαν, καὶ
λάβε ζῆλον ἠθῶν τε τῶν ἐκεῖ καὶ παθῶν καὶ | μεγέ- 419
θους, καὶ τῆς οἰκονομίας καὶ τῶν ἄλλων ἀρετῶν ἀπα-
σῶν εἰς ἀληθῆ τὴν παρὰ σοὶ μίμησιν ἠλλαγμένων.
τοὺς δ' ἄλλους, ἐν οἷς ⟨ἂν⟩ ἀλλήλων πλέον ἔχωσι,
2 χρὴ μιμεῖσθαι. Ἡσίοδος μὲν γὰρ ἐφρόντισεν ἡδονῆς
3 δι' ὀνομάτων λειότητος καὶ συνθέσεως ἐμμελοῦς. Ἀντί-
16 μαχος δὲ εὐτονίας καὶ ἀγωνιστικῆς τραχύτητος καὶ
4 τοῦ συνήθους τῆς ἐξαλλαγῆς. Πανύασις δὲ τάς τε
ἀμφοῖν ἀρετὰς εἰσηνέγκατο, | καὶ αὐτὸς πραγματείᾳ 420
5 καὶ τῇ κατ' αὐτὸν οἰκονομίᾳ διήνεγκεν. Ζηλωτὸς δὲ

Poemandres 14 τῆς καλλίστης μορφῆς τοῦ ἀνθρώπου τὸ εἶδος | τοιγαροῦν PMV: om s 1 παλαιῶν] καλῶν libri 2 ἰδέαν V 3 πολυμαθίας V 6 ἐάν τ'] ἵνα τ' libri. hiatum notaui. sententia Dionysii non potuit nisi contraria esse | σαφεὶς P 7 ἐκλογίας PMVs: corr Sylburgius 8 in margine περὶ ὁμήρου PM | οὖν P: om MVs 10 ἐκεῖ] ἐκείνου aut ἐκείνης fuit qui coniceret 12 παρασοὶ P παρὰ σοῦ ci Kiesslingius | ἠλλαγμένων libri. nil profecerit qui ἠλλαγμένος aut ἐκμεμαγμένος coniecerit. uitium temporis epitomator admisit. accedunt excerptis quae Dionysius supra 121, 7—15 et Quintilianus X 1, 51 significant 13 δ' P: δὲ MVs | ἐν οὗ V | ἂν inserui | ἔχωσι P: ἔχουσι MVs 14 ἡσιοδ(ου) mg P 15 δι'] καὶ libri | ἀντ(ι)μαχ(ου) mg P 16 δὲ PMs: δ' V? | τραχήτητος V 17 πανυασιδ(ος) mg P | Πανύασις . . . 19 διήνεγκεν om V spatio uacuo trium uersuum et partis relicto 18 εἰσηνέγκατο Bonnetus sent controu V: ἠνέγκατο PMs tuebatur Kaibelius | αὐτὸς] αὐτὰς P αὐτῶν Ms 19 κατ' cf adn ad acta Pelagiae p 32 s

SISMANOGLIO MEGARO



καὶ Πίνδαρος ὀνομάτων καὶ νοημάτων εἵνεκα, καὶ
μεγαλοπρεπείας καὶ τόνου καὶ περιουσίας κατασκευῆς
καὶ δυνάμεως, καὶ πικρίας μετὰ ἡδονῆς· καὶ πυκνό-
τητος καὶ σεμνότητος, καὶ γνωμολογίας καὶ ἐναργείας,
καὶ σχηματισμῶν καὶ ἠθοποιίας καὶ αὐξήσεως καὶ δει-
νώσεως· μάλιστα δὲ τῶν εἰς σωφροσύνην καὶ εὐσέ-
βειαν καὶ μεγαλοπρέπειαν ἠθῶν. Σιμωνίδου δὲ παρα- 6
τήρει τὴν ἐκλογὴν τῶν ὀνομάτων, τῆς συνθέσεως τὴν
ἀκρίβειαν· πρὸς τούτοις, καθ' ὃ βελτίων εὑρίσκεται
καὶ Πινδάρου, τὸ οἰκτίζεσθαι μὴ μεγαλοπρεπῶς ἀλλὰ
421 παθητικῶς. Ὅρα δὲ καὶ Στησίχορον ἔν τε τοῖς ἑκα- 7
τέρων τῶν προειρημένων πλεονεκτήμασι κατορθοῦντα,
οὐ μὴν ἀλλὰ καὶ ὧν ἐκεῖνοι λείπονται κρατοῦντα·
λέγω δὲ τῇ μεγαλοπρεπείᾳ τῶν κατὰ τὰς ὑποθέσεις
πραγμάτων, ἐν οἷς τὰ ἤθη καὶ τὰ ἀξιώματα τῶν
προσώπων τετήρηκεν. Ἀλκαίου δὲ σκόπει τὸ μεγαλο- 8
φυὲς καὶ βραχὺ καὶ ἡδὺ μετὰ δεινότητος, ἔτι δὲ καὶ
τοὺς σχηματισμοὺς καὶ τὴν σαφήνειαν, ὅσον αὐτῆς μὴ
422 τῇ διαλέκτῳ τι κεκάκωται· καὶ πρὸ ἁπάντων τὸ τῶν
πολιτικῶν ποιημάτων ἦθος· πολλαχοῦ γοῦν τὸ μέτρον
τις εἰ περιέλοι, ῥητορείαν ἂν εὕροι πολιτικήν. —
Ἴωμεν ἐπὶ τοὺς τραγῳδούς, οὐκ ἐπειδὴ μὴ προσήκει 9
πᾶσιν τοῖς ποιηταῖς ἐντυγχάνειν, ἀλλ' ἐπεὶ μὴ πάντων

1 πινδάρ(ου) mg P sed hoc ultimum adponit argumentum 2 κατασκευῆς] καὶ κατασκευῆς libri 4 ἐνεργείας libri 6 εὐσέβειαν uocis alterum ε euanuit in P 9 καθὸ PMV | βελτίον εὑρίσκεται V 10 ἀλλὰ] ἀλλ' ὡς εκεῖνος P, Ms ἀλλ' ὡς ἐκεῖ V 11 στησίχωρον P | εκατερον P ἑκάτερον MV ἑκατέρου s 14 τῆι μεγαλοπρεπείαι P, MV: τῆς μεγαλοπρεπείας s 18 καὶ τὴν σαφήνειαν] καὶ τὰς σαφηνείας PV μετὰ σαφηνείας (σα- ex τα- corr) M, s 19 τῆι διαλέκτω τι P: conicias τι ex iota adscripto natum esse 20 ποιημάτων] πραγμάτων libri 21 ῥητορείαν — πολιτικήν] ῥητορικὴν — πολιτείαν libri 23 πᾶσιν P: πᾶσι MVs

καιρὸς ἐν τῷ παρόντι μεμνῆσθαι· τὸ δὲ τῶν ἐξαιρέ-
10 των, ἱκανόν ἐστιν. Ὁ δ᾽ οὖν Αἰσχύλος πρῶτος ὑψηλός τε καὶ τῆς μεγαλοπρεπείας ἐχόμενος, καὶ ἠθῶν καὶ παθῶν τὸ πρέπον εἰδώς, καὶ τῇ τροπικῇ καὶ τῇ κυρίᾳ λέξει διαφερόντως κεκοσμημένος, πολλαχοῦ δὲ καὶ αὐτὸς δημιουργὸς καὶ ποιητὴς ἰδίων ὀνομάτων καὶ πραγμάτων, Εὐριπίδου δὲ καὶ Σοφοκλέους καὶ ποικι-
11 λώτερος ταῖς τῶν προσώπων ἐπεισαγωγαῖς. | Σοφο- 423
κλῆς δὲ ἔν τε τοῖς ⟨ἤθεσι καὶ τοῖς⟩ πάθεσι διήνεγκεν τὸ τῶν προσώπων ἀξίωμα τηρῶν· Εὐριπίδῃ μέντοι τὸ ὅλον ἀληθὲς καὶ προσεχὲς τῷ βίῳ τῷ νῦν ἤρεσεν· ὅθεν τὸ πρέπον αὐτὸν καὶ κόσμιον πολλαχοῦ διέφυγεν, καὶ οὐχὶ τὰ γεννικὰ καὶ μεγαλοφυῆ τῶν προσώπων ἤθη καὶ πάθη καθά περ Σοφοκλῆς κατώρθωσεν· εἰ δέ τι ἄσεμνον καὶ ἄνανδρον καὶ ταπεινόν, σφόδρα ἰδεῖν ἔστιν αὐτὸν ἠκριβωκότα. καὶ Σοφοκλῆς μὲν οὐ περιττὸς ἐν τοῖς λόγοις, ἀλλ᾽ ἀναγκαῖος· ὁ δὲ Εὐριπίδης πολὺς ἐν ταῖς ῥητορικαῖς εἰσαγωγαῖς. καὶ ὃ μὲν ποιητικός ἐστιν ἐν τοῖς ὀνόμασι, καὶ πολλάκις ἐκ πολλοῦ τοῦ μεγέθους εἰς διάκενον κόμπον ἐκπίπτων οἷον εἰς ἰδιωτικὴν παντάπασι ταπεινότητα κατέρχεται· ὃ δὲ οὔτε ὑψηλός ἐστιν οὔτε μὴν λιτός, ἀλλὰ κεκραμένῃ μεσότητι τῆς λέξεως κέχρηται.

2 ἱκανῶν M | ὑψηλός τε PMV: om s 9 ἔν τε (ἕν τε M) τοῖς πάθεσι PMV ἐν τοῖς s. suppleui uerba duce particula τε | διήνεγκεν P: διήνεγκε MVs 10 εὐριπίδης PMV, s: corr Holwellus et Reiskius | μέντοι] μέν γε οὐ libri 12 διέφυγεν P: διέφυγε MVs 13 γενικὰ PMs γενηκὰ V 14 κατωρθωσεν (β) καθαπερ (α) σοφοκλησ ordine numeris α β mutato P: καθάπερ σοφοκλῆς κατώρθωσεν (κατάρθωσεν V) MVs 15 τις V 16 ἔστιν om V 17 εὐριπίδης rubro ante ὁ δὲ M 18 πολὺσ Ps: πολλαῖς MV | ὃ μὲν Euripides 21 ὃ δὲ] ὁ δὲ εὐριπίδης libri 22 κεκραμμένηι P | μεσότητι τῆς λέξεως P, MV: τῆς λέξεως μεσότητι s

SISMANOGLIO MEGARO



424 Τῶν δὲ κωμῳδῶν μιμητέον τὰς | λεκτικὰς ἀρετὰς ἁπάσας· εἰσὶ γὰρ καὶ τοῖς ὀνόμασι καθαροὶ καὶ σαφεῖς, καὶ βραχεῖς καὶ μεγαλοπρεπεῖς καὶ δεινοὶ καὶ ἠθικοί. Μενάνδρου δὲ καὶ τὸ πραγματικὸν θεωρητέον.

III Τῶν μέντοι συγγραφέων Ἡρόδοτος μὲν ἐξείργασται βέλτιον τὸ πραγματικὸν εἶδος· τῷ δὲ λεκτικῷ ποτὲ μὲν πλεονεκτεῖ Θουκυδίδης, ποτὲ δὲ ἔμπαλιν· ἔστιν δ᾽ ἐν οἷς ἐξισοῦνται. τῇ μὲν γὰρ ἀκριβείᾳ τῶν
425 ὀνομάτων, | ἧς ἑκάτεροι προῄρηνται διαλέκτου ἀποσῴζουσι τὸ ἴδιον· τῆς σαφηνείας δὲ ἀναμφισβητήτως Ἡροδότῳ τὸ κατόρθωμα δέδοται. καὶ τὸ μὲν σύντομον ἔστι παρὰ Θουκυδίδῃ, τὸ δὲ ἐναργὲς παρὰ ἀμφοτέροις. ἐν μέντοι τοῖς ἠθικοῖς κρατεῖ ὁ Ἡρόδοτος, ἐν δὲ τοῖς παθητικοῖς ὁ Θουκυδίδης. πάλιν καλλιλογίᾳ καὶ μεγαλοπρεπείᾳ διαφέρουσιν οὐδὲν ἀλλήλων, ἀλλ᾽ ἑκάτεροι τούτων τε καὶ τῶν τοιούτων ἀρετῶν κρατοῦσι. ῥώμῃ δὲ καὶ ἰσχύι καὶ τόνῳ καὶ τῷ περιττῷ καὶ πολυσχηματίστῳ παρηυδοκίμησε Θουκυδίδης· ἡδονῇ δὲ καὶ πειθοῖ καὶ χάριτι καὶ τῷ [ἀφελεῖ] αὐτοφυεῖ [ἀβασανίστῳ] μακρῷ διενεγκόντα τὸν Ἡρόδοτον εὑρίσκομεν· ὃς καὶ μετὰ τούτων τὸ πρέπον ⟨περὶ⟩ πραγματείαν καὶ προσωποποιίαν μᾶλλον συντετήρηκεν.

1 μιμητέον] μιμεῖται libri. cf etiam Vlietius stud crit p 3 2 γὰρ] δὲ V | ὀνόμασι] νοήμασι libri: corr etiam Vlietius p 3 s | σοφεῖς V 4 Μένανδρος rubro ante Μενάνδρου M | δὲ supra uersum addit M | πραγματικὸν PMV: πρακτικὸν s 5 ἐξείργασται PMV: ἐξείργασται τὸ s 6 δὲ om V 8 εστιν P: ἔστι MVs | μὲν γὰρ P: μὲν MVs 9 ἧς ... διαλέκτου Kruegerus ad historiogr p 42 cl t I 360, 4 s: ἐν οἷς—διαλόγοις libri | [δια]λόγοις cum litura P 10 τῆς δὲ σαφηνείας s 11 κατώρθωμα P 12 εστι P ἔστι M | παρα P: παρ᾽ MVs 13 κρατεῖ ὁ PMV: κρατεῖ s 19 glossemata hiatu arguuntur 20 εὑρίσκομεν· ὃς] ὡς εὑρίσκομεν PMV εὑρίσκομεν s 21 καὶ μετὰ τοῦτον τὸν τρόπον libri | περὶ inserui cf p 211, 2 22 μαλ-

2 ‖ *Φιλίστου δὲ καὶ Ξενοφῶντος * * ὁ μὲν Ξενοφῶν* 426
*Ἡροδότου ζηλωτὴς ἐγένετο κατά τε τὰς πραγματικὰς*
*ἀρετὰς ⟨καὶ τὰς λεκτικάς· καὶ τῷ μὲν πραγματικῷ*
*τύπῳ οὐχ ἧττων Ἡροδότου κατά τε τὰς ὑποθέσεις⟩*
*καὶ τὰς οἰκονομίας καὶ τὰ ἠθικά, τῷ δὲ λεκτικῷ πῇ*
*μὲν ὅμοιος, πῇ δὲ ἐλάττων· ἐκλεκτικὸς μὲν γὰρ καὶ*
*καθαρὸς τοῖς ὀνόμασι, καὶ σαφὴς καὶ ἐναργής, καὶ κατὰ*
*τὴν σύνθεσιν ἡδὺς καὶ εὔχαρις, ὡς καὶ πλεῖον ⟨ἔχειν⟩*
*ἐκείνου· ὕψους δὲ καὶ μεγαλοπρεπείας καὶ καθόλου τοῦ*
*ἱστορικοῦ πλάσματος οὐκ ἐπέτυχεν· ἀλλ' οὐδὲ τοῦ πρέ-*
*ποντος τοῖς προσώποις πολλάκις ἐστοχάσατο, περιτι-*
*θεὶς ἀνδράσιν ἰδιώταις καὶ βαρβάροις ἔσθ' ὅτε λόγους*
*φιλοσόφους, λέξει χρώμενος διαλόγοις πρεπούσῃ μᾶλ-*
*λον ἢ στρατιωτικοῖς κατορθώμασι. Φίλιστος δὲ μιμη-*
*τής ἐστι | Θουκυδίδου, ἔξω τοῦ ἤθους· ᾧ μὲν γὰρ* 427
*ἐλεύθερον καὶ φρονήματος μεστόν· τούτῳ δὲ θεραπευ-*
*τικὸν τῶν τυράννων καὶ δοῦλον πλεονεξίας. ἐζήλωκεν*
*δὲ πρῶτον μὲν τὸ τὴν ὑπόθεσιν ἀτελῆ καταλιπεῖν τὸν*
*αὐτὸν ἐκείνῳ τρόπον· οὐ μὴν ἀλλὰ καὶ τὴν ἀταξίαν*
*αὐτοῦ τῆς οἰκονομίας· καὶ δυσπαρακολούθητον τὴν*

*λονου τετηρηκεν* P, V *μᾶλλον οὐ τετήρηκε* Ms 1 lacunam notaui. intercidit fere *τῶν τούτοις ἐπιγενομένων πολλή τίς ἐστι διαφορά* 3 hiatum expleui 5 *οἰκονομιας* P, MV: *οἰκονομικὰς* s | *τας ἠθικας* P, MVs | *τῶν διαλεκτικῶν* PMVs: corr Sylburgius 6 *ὁμοίως* MV | *ελεγκτικος* P, Ms *ἐλεκτικὸς* V: corr Sylburgius 7 *κατὰ* s: *μετα* P, MV 8 *ἄχαρις* V | *πλεῖ* cum foramine tineae ut tamen pars superior lineolae qua *ον* terminatio indicabatur dispici possit P: *πλεῖον* s *πλείων* MV 9 *καὶ* ante *καθόλου* om s 10 *πλάσματος* PV: *πράγματος* Ms 11 *π[ερι]τιθεὶς* cum litura *ε* litterae supra *π* positae (ex *παρα-*?) P 13 *διαλόγοις* P: *λόγοις* MVs 15 *ᾧ μὲν*] *ομεν* P *ὁμὲν* MV: *τὸ μὲν* s 16 *τοῦτο* libri 17 *τῶν* PMV: *τῆς* s | *δοῦλον* V: *δούλων* PM *ἄλλων* s | *ἐζήλωκε* MVs 18 *τὸ* ex *τῶ* corr M | *ἀφελῆ* Kruegerus ad historiogr p 46 cf Creuzerus de arte historica p 309[2]

SISMANOGLIO MEGARO



*πραγματείαν τῇ συγχύσει τῶν εἰρημένων πεποίηκεν.*
*τῆς ⟨δὲ⟩ λέξεως τὸ μὲν γλωσσηματικὸν καὶ περίεργον*
*οὐκ ἐζήλωκεν Θουκυδίδου· τὸ δὲ στρογγύλον καὶ*
*πυκνὸν καὶ εὔτονον καὶ ἐναγώνιον πάνυ ἀκριβῶς*
*ἀπεμάξατο, οὐ μὴν ὁμοίως τὴν καλλιλογίαν καὶ τὴν*
*σεμνότητα καὶ τὴν ἀφθονίαν τῶν ἐνθυμημάτων, καὶ*
*τὰ βάρη καὶ τὰ πάθη καὶ τοὺς σχηματισμούς. μικρὸς*
*δὲ ἐστὶ καὶ ταπεινὸς κομιδῇ ταῖς ἐκφράσεσιν ἤτοι τό-*
*πων ἢ ναυμαχιῶν ἢ πεζῶν παρατάξεων ἢ οἰκισμοῦ*
*πόλεων. οὐδὲ ὁ λόγος τῷ μεγέθει τοῦ πράγματος*
428 *ἐξισοῦται. συνετὸς | μέντοι κατὰ τὴν ἑρμηνείαν. Θου-*
*κυδίδου ⟨δὲ⟩ πρὸς τοὺς ἀληθεῖς ἀγῶνας ὠφελιμώτερος.*
*Θεόπομπος δὲ ὁ Χῖος πρῶτον μὲν ἐν τῷ προελέ-* 3
*σθαι τοιαύτας ἱστορίας ὑποθέσεις ἄξιος ζήλου· μετὰ*
*δέ, οἰκονομίας (ἔχει γοῦν τὸ εὐπαρακολούθητον καὶ*
*σαφὲς ἡ γραφή)· ἔτι δὲ καὶ τῆς ποικιλίας τῆς ἐν τοῖς*
*πράγμασιν· οὐ μὴν ἀλλὰ καὶ τῆς ἐφ' ἑκάστοις παρρη-*
*σίας καὶ τοῦ μηδὲ τὰς ἀπορρήτους τῶν γενομένων ἢ*
*λεχθέντων αἰτίας ἀποκρύψασθαι, στοχάσασθαι δ' ἀκρι-*
429 *βῶς τῆς τῶν | εἰπόντων ἢ πεποιηκότων γνώμης. τὸ*
*⟨δὲ⟩ λεκτικὸν αὐτοῦ τῷ Ἰσοκρατικῷ παραπλήσιον, πλὴν*
*ὅσον πικρόν ἐστι καὶ σφόδρα ἔντονον, τὰ δ' ἄλλα*

2 *δὲ* inseruit s | *γλωσσημαντικὸν* V 3 *ἐζήλωκε* MVs 7 *τὰ βάρη καὶ τὰ πάθη* desunt in ep ad Pompeium p 781 sed cf t I 360, 9 *τόνον — βάρος — πάθος* 8 *ἐμφράσεσιν* V. cf artis rhet 10, 17 p 392 10 *τοῦ πράγματος* PMVs cf p 213, 7 s: *τῶν προσώπων* Kruegerus 11 *κατὰ*] *καὶ κατὰ* PMVs 12 *δὲ* inserui 13 *θεοπεμπτος* V | fort *μὲν τῷ* 14 *τοιαύτας* P: *τοιαύτης* MVs 15 *γοῦν* P *γοῦν* V: *οὖν* Ms 18 *τοῦ μηδὲ*] *μὴν οὐδὲ* PMV *μὴν τοῦ οὐδὲ* s *μὴν οὐδὲ τοῦ* Sylburgius 19 *ἀποκρύψασθαι* eo conpendio praepositionis (ut p 207, 9 *ἀποσώζουσι*) quod inperitus non legat nisi *ἐγ* P: *ἐγκρύψασθαι* MVs 20 *τὸ δὲ*] *τὸ* PMVs 21 *αὐτοῦ*] *αυτῶ* P, MVs 22 *ὅσον μικρόν* PMVs: corr Sylburgius | *εὔτονον* PMVs

*ὁμοία ἡ λέξις· καὶ γὰρ κοινὴ καὶ σαφὴς καὶ μεγαλοπρεπὴς καὶ σεμνὴ καὶ πομπική, συνθέσεως τετυχηκυῖα τῆς πρὸς ἡδονήν. πονηρὰ δὲ ἡ πολλὴ τῆς τῶν φωνηέντων φυλακὴ συγκρούσεως καὶ ⟨αἱ⟩ κατεπιτετηδευμέναι κυκλικαὶ περίοδοι καὶ ⟨οἱ⟩ ὁμοιειδεῖς τῶν σχηματισμῶν. διήμαρτεν δὲ καὶ ὁμαλότητος πραγματικῆς κατὰ τὰς τῶν παρεκβάσεων ἐπεισαγωγάς· καὶ γὰρ ψυχρῶς ἔνιαι καὶ ἀκαίρως λέγονται, καθάπερ τὰ περὶ τὸν ἐν Μακεδονίᾳ Σιληνὸν ἱστορηθέντα καὶ τὰ περὶ τὸν δράκοντα τὸν πρὸς τὴν τριήρη ναυμαχοῦντα. |*

IIII *[Τῶν φιλοσόφων δ' ἀναγνωστέον τούς τε Πυ-* 430
*θαγορικοὺς τῆς σεμνότητος καὶ τῶν ἠθῶν καὶ τῶν δογμάτων ἕνεκεν· οὐ μὴν ἀλλὰ καὶ τῆς ἀπαγγελίας· μεγαλοπρεπεῖς γὰρ τῇ λέξει καὶ ποιητικοί· καὶ οὐδὲ παραλυποῦσι τὴν σαφήνειαν κεκραμένῃ τῇ διαλέκτῳ χρώμενοι.] μιμητέον δὲ * * μάλιστα Ξενοφῶντα καὶ Πλάτωνα τῶν τε ἠθῶν χάριν καὶ τῆς ἡδονῆς καὶ τῆς*

3 *δε καὶ πολλή τις* (*τῆς* s) *των φωνηεντων η συγκρουσις* P, MVs cf supra 87, 15 *φυλακὴ συμπλοκῆς φωνηέντων*: ⟨*εὐλάβεια, μή*⟩ *τις τῶν φωνηέντων ᾖ* (certe non *ᾖ ἡ* ut traditur) *σύγκρουσις* Sauppius Philol 53, 434   4 *καὶ αἱ*] *καὶ* PMVs | *κατεπιτήδευμαμὲν αἱ* P *κατ' ἐπιτήδευμα μὲν αἱ* MVs: corr Kruegerus ad historiogr p 50 Dobraeus aduers I 561   5 *καὶ ὁμοιειδεῖς* P *καὶ ὁμοιοειδεῖς* MVs: corr Kruegerus p 51   6 *διήμαρται* M | *ὁμαλότητος*] *ὃ μαλιστα ἐντὸς* P, MVs | *πρακτικὴ* PMV *πρακτικῆς* s   9 *σιληνὸν* PV: *σειληνὸν* M, s   10 *τῆι τριηρει* P, MVs   11 . . . 16 ne is quidem qui hanc epitomam condidit scripsisse potest, cum sententia uerbis *ἀναγνωστέον τούς τε* incohata non continuetur uerbis *μιμητέον δέ*. addidit igitur Pythagoreorum sectator posterior qui spurios illorum libros admiraretur   13 *εἵνεκεν* s   15 *παραλυπουσι* P: *παραλείπουσι* MVs | *κεκραμένῃ*] *αλλακεκραμμέν*ηι* (*ν* alterum del) P *ἀλλὰ κεκράμενοι* M *ἀλλὰ κεκραμένη* V, s   16 post *δὲ* fenestra IX aut X litterarum capax in P, quam lacunam apographa non indicant. mirum ni ⟨*τῶν φιλοσόφων*⟩ omissum fuit   17 *τε*] *δ'* uitium exempli Reiskiani *δὲ* V



*μεγαλοπρεπείας. παραληπτέον δὲ καὶ Ἀριστοτέλην εἰς μίμησιν τῆς τε περὶ τὴν ἑρμηνείαν δεινότητος καὶ τῆς σαφηνείας, καὶ τοῦ ἡδέος καὶ πολυμαθοῦς· τοῦτο γὰρ ἔστι μάλιστα παρὰ τοῦ ἀνδρὸς τούτου λαβεῖν. φιλοτιμώμεθα δ' αὐτοῦ καὶ τοῖς μαθηταῖς ἐντυγχάνειν, οὐδὲν ἐλάττονος οὖσι σπουδῆς ἀξίοις. |*

431 *Ἐπειδὴ τοίνυν τὰ περὶ τῶν ἄλλων ἀναγνωσμάτων* 2
*ἐστὶν ἡμῖν κεφαλαιωδῶς ἐξειργασμένα, ῥητέον λοιπὸν καὶ ὃ παρὰ τῶν ῥητόρων ἔστιν ἑκάστου λαβεῖν· ὃ δὴ καὶ μᾶλλον ἡμῖν ἀναγκαῖον.*

V *Ὁ Λυσιακὸς λόγος πρὸς τὸ χρήσιμον καὶ ἀναγκαῖόν ἐστιν αὐτάρκης, καὶ τὸ μὲν αὐχμηρὸν ἐκπεφευγώς, πάνυ δὲ λιτὸς καὶ ἰσχνὸς κατὰ τὴν ἀπαγγελίαν. ἔστι δὲ κομψὸς καὶ ἐναλήθης, καὶ τῷ ἀττικισμῷ*
432 *εὔ|χαρις· οὐ μὴν ἀτεχνῶς αὔξητικός, πλὴν τοῦ σκοποῦ λεληθότως ἐπιτυγχάνων, μετ' ἀκροτάτης τῆς κατὰ τὴν χάριν ἡδονῆς, ὡς ἀναγινωσκόμενον μὲν οὐ χαλεπὸν νομίζεσθαι, χαλεπὸν δὲ εὑρίσκεσθαι ζηλοῦν πειρωμένοις. μάλιστα δὲ ἐπιτευκτικὸς ἐν ταῖς διηγήσεσιν· ἰσχνότητι γὰρ τῆς φράσεως σαφῆ καὶ ἀπηκριβωμένην ἔχουσι τὴν τῶν πραγμάτων ἔκθεσιν. Ὁ δὲ Ἰσοκρατι-* 2

1 *ἀριστοτέλη* libri   4 *ἐστιν* V | *παρα* P suprascripto *ε* in *περι* corr P² | *τουτον* P: om MVs   5 *αὐτοῦ* MVs: *αυτ̃* i e *αυτω* P   6 *ουδεν* P: *οὐδὲ* MVs   9 scribendum *καὶ ἃ* | *ῥητόρων*] *ρητορικῶν* sic P, MVs   10 *ὑμῖν* V   12 *αὐστηρὸν* fuit cum conicerem   13 *λιτὸς* Reiskius: *οὗτος* PMVs. cf t I 204, 12 *τὴν λιτὴν καὶ ἰσχνὴν καὶ ἀπέριττον φράσιν* | *ἰσχνὸς*] *στενὸς* PMVs   14 *ἔστι*] *ετι* P, MVs *ἐστὶ* Reiskius | *δὲ* PMV: *δὲ καὶ* s | *καὶ εναληθης* P *καὶ ληθὴς* cum fenestra MV *καὶ ἀληθὴς* s | *τῶ αττικισμῶ* cum conpendiis P ut coniecerat Reiskius: *τῶν αττικισμῶν* MVs   15 ante *εὔχαρις* hiare oratio uidetur, fort *καθαρὸς καὶ* intercidit | *ἀτεχνῶς*] *συνεχῶς* PMVs   16 *μετ' ἀκροτάτης*] *μετα κρεμαμένης* PV corr M *μετὰ κεκραμένης* M¹s   17 *οὐ χαλεπὸν*] *οὐχ ὅλον* P, MVs *εὔκολον* ci Reiskius   18 *πειρώμενον* V

κὸς κομψεύεται μέν, ἀλλὰ μετὰ σεμνότητος, καὶ πανη-
γυρικώτερός ἐστι μᾶλλον ἢ δικανικώτερος. ἔχει δὲ
τὸν κόσμον μετὰ ἐναργείας, καὶ πομπικός ἐστι πέρα
τοῦ ἀνυστικοῦ καὶ χρησίμου· οὐ μὴν | ἀγωνιστικός, 433
περιγράφων δὲ τὴν ἀπαγγελίαν ταῖς περιόδοις, καὶ
ὅλως σεμνότητα σωφρονίζων λιτότητι, τὸ δὲ λιτὸν
ἐξαίρων * * καὶ αὐτοῦ μάλιστα ζηλωτέον τήν τε τῶν
ὀνομάτων ἐκλογὴν καὶ συνέχειαν καὶ τὸ τῆς ὅλης
3 ἰδέας ἐπιδεικτικόν. Ὁ δὲ Λυκούργειός ἐστι διὰ παν-
τὸς αὐξητικὸς καὶ διηρμένος καὶ σεμνός, καὶ ὅλως
κατηγορικὸς καὶ φιλαλήθης καὶ παρρησιαστικός· οὐ
μὴν ἀστεῖος οὐδὲ ἡδύς, ἀλλὰ ἀναγκαῖος. τούτου χρὴ
4 ζηλοῦν μάλιστα τὰς δεινώσεις. Ὁ δὲ Δημοσθενικὸς
εὔτονος τῇ φράσει ⟨καὶ⟩ κε|κραμένος τοῖς ἤθεσι καὶ 434
λέξεων ἐκλογῇ κεκοσμημένος καὶ χρώμενος τάξει τῇ
κατὰ τὸ συμφέρον καὶ μετὰ τοῦ σεμνοῦ τὴν χάριν
ἔχων καὶ συνεχής· οἷς μάλιστα δικασταὶ κατέχονται.
5 Ὁ δὲ Αἰσχίνειος ἀτονώτερος μὲν τοῦ Δημοσθενικοῦ,
ἐν δὲ τῇ τῶν λέξεων ἐκλογῇ πομπικὸς ἅμα καὶ δεινός·
καὶ οὐ πάνυ μὲν ἔντεχνος, τῇ δὲ παρὰ τῆς φύσεως

1 καμψεύεται V | πανηγυρικώτατός MV 3 μετὰ ἐνεργείας s | πέρα] μετα P, MVs. cf t I 58, 21 πέρα τοῦ χρησίμου 6 ολως μεσότητα P, MVs: corr Reiskius Corais Dobraeus | λιτότητι τὸ δέ om V 7 post ἐξαίρων spatium XVI fere litterarum capax uacuum reliquit P, etiam ampliores fenestras praebent MV sine lacunae nota s 8 ἐκλογὴν καὶ om s | τῆς ὅλης ἰδέας cf t I 135, 2 εἰς ἅπασαν ἰδέαν λόγων 9 λυκοῦργος PMVs 10 διηρημενος P, MV διηρημένος s: corr Stephanus p 78 | ὅλως P: ὅλος MVs 12 αλλ- i e αλλα P: ἀλλ' MVs | τούτο M τοῦτο V 13 δημοσθενικ terminationis nota tineae foramine hausta P 14 καὶ inserui | κεκραμμένος P 15 λεξεων certo conpendio P ut infra u 19 (ὀνομάτων Dionysius scripturus erat): λέξεως MVs | χρώμεθα V 16 καὶ om V 17 συνεχής corruptum. an defendas conl u 8? 18 αἰσχίνης PMVs | τοῦ om V | Δημοσθένους s



εὐχερείᾳ κεχορηγημένος· καὶ σφόδρα ἐνεργὴς καὶ βαρὺς
καὶ αὐξητικὸς καὶ πικρός, καὶ ἡδὺς μὲν αὐτόθεν ἐν-
τυχόντι, σφοδρὸς δὲ ἐξετασθείς. Ὁ δὲ Ὑπερείδης 6
435 εὔστοχος μέν, σπάνιον δ' αὔξη|τικός· καὶ τῇ μὲν τῆς
φράσεως κατασκευῇ Λυσίαν ὑπερηρκώς, τῇ δὲ τῆς
εὑρέσεως πανουργίᾳ πάντας. ἔτι δὲ τοῦ κρινομένου
διὰ παντὸς ἔχεται, καὶ τοῖς ἀναγκαίοις τοῦ πράγματος
προσπέφυκεν, καὶ συνέσει πολλῇ κεχορήγηται, καὶ
χάριτος μεστός ἐστι· καὶ δοκῶν ἁπλοῦς οὐκ ἀπήλ-
λακται δεινότητος. τούτου ζηλωτέον μάλιστα τῶν δι-
ηγήσεων τὸ λεπτὸν καὶ σύμμετρον, ἔτι δὲ καὶ τὰς
ἐφόδους, ⟨ὡς⟩ ἐπὶ τὰ πράγματα βαδίζει. |

Καί μοι καὶ τῶν ῥητόρων οὗτοι κεχαρακτηρισμένοι 7
καὶ δεδειγμένοι, τίνος ἀρετῆς ἐπειλημμένος εἰς ὠφέ-
λειαν τῶν ἐντυγχανόντων ἕκαστος συνεισφέρει. τού-
436 του δὲ ἕνεκα τὰς τῶν προειρημένων ἁπάντων ἰδέας
διεξῆλθον, ὡς ὑποδεδεῖχθαι τὸν τρόπον τῆς ἐπιμελοῦς
ἀναγνώσεως, ἐξ ἧς ὑπάρξει τὸ παρ' ἑκάστοις κατορθού-
μενον αἱρουμένοις μήτε παρέργως τοῖς παλαιοῖς ἐν-
τυγχάνειν μήτε λεληθότως τὴν ὠφέλειαν προσγινο-
μένην περιμένειν ἀλλ' ἐπιστημόνως, ἄλλως τε καὶ
κοσμήσειν μέλλουσι τὸν λόγον τοῖς παρὰ πάντων πλεο-
νεκτήμασιν· ἃ καὶ αὐτὰ μὲν οἰκείᾳ φύσει τέρπει, εἰ

1 εὐχρεία M εὐχρειὰ V | ἐναργὴς PMs ἐναργῆς V 3 ὑπεριδης P, MVs 4 εὔτονος V 5 ὑπερηρκὼς MVs: ὑπερηρηκὼς P 6 ευρεσεως P: in lacuna om MVs 7 τοις αναγκαιοις certis conpendiis P: ταῖς ἀνάγκαις MVs 8 προσπέφυκε MV πέφυκε s 12 ὡς inserui, αἷς cum Hoeschelio Sylburgius desiderabat 13 καί] καὶ δή Reiskius 15 ἕκαστος] καὶ αυτος P, MVs 17 ὥστε δεδεῖχθαι s 18 ἐξῆς P | ὑπάρχει V | παρ' ἑκάστοις om V 19 αιρουμενην P, MVs | μήτε . . . 21 περιμένειν om s, ex Amusaei libro restituerat Sylburgius 20 προγινομένην V 22 πλεονεκτήμασι MV 23 καὶ καταυτα P, MVs

δὲ καὶ κερασθείη διὰ τῆς τέχνης εἰς ἑνὸς τύπον λογικοῦ σώματος, βελτίων ἡ φράσις τῇ μίξει γίνεται.

## VI[a]

31[a] Ὅτι ζωγράφος τις κάλλος ἄριστον γράψαι βουλόμενος τὰς κατὰ τὴν χώραν καλὰς γυναῖκας συνήθροισε, καὶ ἀφ' ἑκάστης τὸ τῶν μελῶν μιμούμενος κάλλιστον, τῆς μὲν ὀφθαλμούς, τῆς δὲ ῥῖνα, τῆς δὲ ὀφρύας καὶ ἀπ' ἄλλης ἄλλο (οὐδὲ γὰρ ἦν ἁπάσας καλὰ φέρειν τὰ πάντα), κάλλιστον εἶδος ἀπηκριβώσατο. ἔοικε δὲ τοῦτο λαβεῖν ἐκ τοῦ Ὁμήρου. καὶ γὰρ ἐκεῖνος ὑπογράφων τὸν Ἀγαμέμνονα [B 478 s]

ὄμματα (μὲν φησί) καὶ κεφαλὴν ἴκελος Διὶ ⟨τερπικεραύνῳ⟩,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.

Maximus Planudes in collectaneis ab Aenea Piccolomini editis *Rivista di filologia* II 157 c 47 probabiliter ex ipso Dionysii libro sublatum hunc locum tradit, ut A Brinkmannus monuit. cf p 203, 11—18.

## VII

32 Dionysius ep ad Pompeium c 3—6 infra p 232—248.

## VIII

33 Syrianus in Hermog de formis p 10, 9 Rab (t VII 2 p 875, 2 uel Maximus Planudes ibid t V p 444, 12 Walzii cf Morellii bibl manuscr p 303) ἄμεινον δὲ τῷ Ἁλικαρνασεῖ Διονυσίῳ ἑπομένους ποιητικὸν μὲν λόγον φάναι τὸν τροπικῇ τε καὶ μεταφορικῇ καὶ διθυραμβώδει συνθήκῃ συντεθειμένον, ὁποία ἡ Γοργίου τοῦ ῥήτορος φράσις· πρῶτος γὰρ ἐκεῖνος, ὥς φησι Διονύσιος ἐν τῷ Περὶ μιμήσεως δευτέρῳ, τὴν ποιητικὴν καὶ διθυραμβώδη λέξιν εἰς τοὺς πολιτικοὺς εἰσήνεγκε λόγους.

Iohannes Siculus t VI p 102, 16 Walzii τὸν μὲν γὰρ (ποιητικὸν λόγον) ἡ τροπικὴ φράσις καὶ μεταφορικὴ καὶ διθυραμβικὴ συνθήκη ποιεῖ, ὁποία ἡ τοῦ Γοργίου, ὃν πρῶτόν φασιν εἰς τοὺς πολιτικοὺς μετενεγκεῖν τὰ τοιαῦτα λόγους.

1 τῆς P: om MVs 2 ἡ om s: restituit Sylburgius | γίνεται: ∼ τέ(λος) P 24 καὶ om libri Syriani | διθυραμβώδει ... 215, 3 καὶ om Messanensis | συντεθημένον Messanensis



## IX

Γοργίας μὲν τὴν ποιητικὴν ἑρμηνείαν μετήνεγκεν 34 εἰς λόγους πολιτικούς, οὐκ ἀξιῶν ὅμοιον τὸν ῥήτορα τοῖς ἰδιώταις εἶναι. Λυσίας δὲ τοὐναντίον ἐποίησε· τὴν γὰρ φανερὰν ἅπασι καὶ τετριμμένην λέξιν ἐζήλωσεν ἔγγιστα νομίζων εἶναι τοῦ πεῖσαι τὸν ἰδιώτην τὸ κοινὸν τῆς ὀνομασίας καὶ ἀφελές· ἥκιστα γὰρ ἄν τις εὕροι τὸν Λυσίαν τροπικῇ καὶ μεταφορικῇ λέξει κεχρημένον· σεμνὰ δὲ καὶ περιττὰ καὶ μεγάλα φαίνε-

1 πρῶτον ed Walzius. proxima ad fr 34 pertinent 2 ἐκεῖνος om Messanensis | διονύσιος Venetus: ὁ Διονύσιος Aldus et cod Par ὁ ἁλικαρνασσεὺς alii codices Maximi | ἐν τῷ περὶ μιμήσεως δευτέρῳ Syrianus: ἐν τῷ (ἐκ τῶν Monac) περὶ μιμήσεως, χαρακτήρων καὶ συνθέσεως ὀνομάτων Maximus conprehensis omnibus Dionysii libris unde testimonia proferuntur (cf p 445, 5. 17), sed codicis Mon lectio indicio est haec olim in margine adscripta fuisse 6 διθυραμβικὴ] διθυραμβώδης τουτέστιν ἰαμβικὴ Walzius ex cod Parisino edidit: librarius uariam lectionem αμβικὴ pro interpretatione habuit 7 τοὺς ποιητικοὺς edebatur 10 cf supra u 3 s 15 ἥκιστα ... 216, 2 κατασκευῆς ex libro de antiquis oratoribus I p 10, 9 Dionysius ipse excerpsit: ἥκιστα γὰρ ... χρησάμενον. καὶ οὐκ ἐπὶ τούτῳ μόνον ἐπαινεῖν αὐτὸν ἄξιον, ἀλλ' ὅτι καὶ σεμνὰ καὶ περιττὰ ... τοῖς κοινοτάτοις χρώμενος ὀνόμασι καὶ ... κατασκευῆς. τοῖς δὲ προτέροις οὐχ αὕτη ἡ δόξα ἦν, ἀλλὰ βουλόμενοι κόσμον τινὰ προσεῖναι τοῖς λόγοις ἐξήλλαττον τὸν ἰδιώτην καὶ κατέφευγον εἰς τὴν ποιητικὴν φράσιν et quae secuntur, etiam de Gorgia

SISMANOGLIO MEGARO

*σθαι τὰ πράγματα ποιεῖ τοῖς κοινοτάτοις ὀνόμασι χρώμενος καὶ ποιητικῆς οὐχ ἁπτόμενος κατασκευῆς.*

Syrianus ibidem p 11, 19 Rab (unde Maximus Planudes Walzii t V p 446, 3) ἔτι γε μὴν ἐν τῷ Περὶ μιμήσεως ὁ αὐτός φησιν, ὅτι Γοργίας .... κατασκευῆς.

## X

35 *δοκεῖ μὲν γὰρ ἀποίητός τις εἶναι καὶ ἀτεχνίτευτος ὁ τῆς ἑρμηνείας αὐτοῦ (τοῦ Λυσίου) χαρακτήρ, καὶ πολλοῖς ἂν καὶ τῶν φιλολόγων παράσχοι δόξαν, ὅτι ἀνεπιτηδεύτως καὶ οὐ κατὰ τέχνην, αὐτομάτως δέ πως καὶ ὡς ἔτυχε σύγκειται. ἔστι δὲ παντὸς ἔργου μᾶλλον τεχνικοῦ κατεσκευασμένος· πεποίηται γὰρ αὐτοῦ τὸ ἀποίητον καὶ δέδεται τὸ λελυμένον, καὶ ἐν αὐτῷ τῷ μὴ δοκεῖν δεινῶς κατεσκευάσθαι τὸ δεινὸν ἔχει.*

Syrianus ibidem p 12, 4 Rab (et Maximus Planudes Walzii t V p 446, 13) ἔτι γε μὴν ὁ αὐτὸς ἐν τῷ αὐτῷ βυβλίῳ τὸ δοκοῦν ἀνεπιτήδευτον εἶναι ἀποίητον ὀνομάζει· καὶ πολὺ κάλλιον ἦν οὕτως ὀνομάσαι τὸ ἀνεπιτήδευτον, εἴ περ τοῦτο ἐβούλετο δηλῶσαι, ἢ ‘ὡς ποιητικόν’. ἐπάγει γὰρ καὶ τάδε περὶ Λυσίου· δοκεῖ μὲν γὰρ .... τὸ δεινὸν ἔχει.

Syrianus in Hermog de formis II 9 (p 361,12 W) p 87,16 Rab

4 antea ex libro de compositione uerborum testimonia petita erant 7 fr 35 similiter ut superius fere ad uerbum ex t I p 16, 3 (= L) repetitum est | τις om Venetus 8 ἑρμηνείας] ἁρμονίας L | καὶ ... 8 παράσχοι] καὶ οὐ θαυμάσαιμ' ἄν, εἰ πᾶσι μὲν τοῖς ἰδιώταις, οὐκ ὀλίγοις δὲ καὶ τῶν φιλολόγων, ὅσοι μὴ μεγάλας ἔχουσι τριβὰς περὶ λόγους, τοιαύτην τινὰ παράσχοι L 11 παντὸς μᾶλλον ἔργου L rectius 12 αὐτοῦ] αὐτῷ (αὐτὸ corr F) τοῦτο L 16 continuantur quae supra fr 34 adposita sunt | βιβλίῳ libri 18 εἴ περ Syrianus et cod Paris ἐπείπερ reliqui 19 ὡς] ὡς οὐ traditur mixta lectione: apud Hermogenem de formis I 1 t III p 191, 10 W tum ὡς ποιητικός tum οὐ ποιητικός legebatur cf Rhet t V p 445, 1 ὡς ποιητικὸν δὲ λόγον· καὶ γὰρ οὕτω τινὲς γράφουσιν ἀντὶ τοῦ (ἀλλ' editur) οὐ ποιητικόν

SISMANOGLIO MEGARO



(et Maximus t V p 545, 11) πανταχοῦ γὰρ ὁ Λυσίας, ὡς καὶ Διονύσιός φησι, τῇ οὔσῃ μέν, μὴ δοκούσῃ δὲ κέχρηται δεινότητι. καὶ βοᾷ περὶ αὐτοῦ διαρρήδην ἐν τῷ Περὶ μιμήσεως τάδε· πεποίηται γὰρ αὐτοῦ τὸ ἀποίητον καὶ δέδεται τὸ λελυμένον, καὶ τὸ μὴ δοκοῦν δεινῶς κατεσκευάσθαι δεινῶς ἔχει.

Tzetzes in Hermog in Crameri anecdotis Oxon t IV p 127, 20

περὶ τῆς οὔσης λέγω δὲ καὶ μὴ δοκούσης εἶναι,
ὁποία ἡ δεινότης ἦν τοῦ ῥήτορος Λυσίου·
τὸ Δημοσθένους γὰρ δεινὸν κατ' ἔννοιαν ὑπάρχει,
δεινότης ἡ Δεινάρχου δὲ γίνεται μόνῃ λέξει.

## XI

[Dionysius] artis rhetor X 6 p 381 R τοῦτον δὲ τὸν ἔλεγχον 36
τὸν τοῦ μὴ ἐπίστασθαι τὴν ἀναγκαίαν ἀκολουθίαν μόνος Δημοσθένης ἐξέφυγεν κατὰ μίμησιν τὴν Πλάτωνος· πῶς καὶ τίνα τρόπον, ἐν τῷ περὶ μιμήσεως πειρασόμεθα.

## Γ

ὁ δὲ τρίτος περὶ τοῦ πῶς δεῖ μιμεῖσθαι
Dionysius

fragmentum nullum seruatur. sed pertinet huc epitomae p 213, 17 — 214, 2: cuius loci similem legi sententiam in excerptis ex Longino p 177, 5 Bakii I 327, 3 Sp Ὅτι ἄριστοι λόγοι καὶ μιμήσεως ἄξιοι οἱ μὴ ἔχοντες ἑνὸς χαρακτῆρα ἀλλὰ διαφόρων monuit Radermacher.

2 κέχρηται Syrianus: χρῆται Maximus | βοᾷ περὶ αὐτοῦ διαρρήδην Syrianus: φησὶ περὶ αὐτοῦ Maximus 4 δέδεται Syrianus: οὐ λέλυται Maximus 5 δεινῶς κατεσκευάσθαι om cod Monacensis Maximi | δεινῶς ἔχει] τὸ δεινὸν ἔχει supra et L 12 sq margini σημ(είωσαι) adpinxit P, M 14 πῶς ... 15 τῷ litteris maiusculis P, rubris M exhibent 15 ἐν τῷ] ἐν supra posito τ, ut etiam ἐν τοῖς legere liceat P

# ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡΝΑΣΕΩΣ

## ΠΡΟΣ ΠΟΜΠΗΙΟΝ ΓΕΜΙΝΟΝ

### ΕΠΙΣΤΟΛΗ

SISMANOGLIO MEGARO

## Adhibentur

M Ambrosianus
E Estensis Mutinensis gr. 68 chartaceus
V Venetus Marcianus append. cl. X cod. 34
P Palatinus 58 nunc Vaticanus
B Parisiensis 1742
s editio princeps H. Stephani

---

750 # ΔΙΟΝΥΣΙΟΣ ΓΝΑΙΩΙ ΠΟΜΠΗΙΩΙ

## ΧΑΙΡΕΙΝ

Ἐπιστολήν τινα παρὰ σοῦ κομισθεῖσαν ἐδεξάμην εὐπαίδευτόν τε καὶ πάνυ μοι κεχαρισμένην, ἐν ᾗ γράφεις, ὅτι τὰς συντάξεις τὰς ἐμὰς ἐπιχορηγοῦντός σοι Ζήνωνος τοῦ κοινοῦ φίλου διαπορευόμενος καὶ πάνυ διατιθέμενος οἰκείως, ἐν αὐταῖς τὰ μὲν ἄλλα θαυμάζεις, ἑνὶ δὲ μέρει δυσχεραίνεις τῶν ἐν αὐταῖς κατακεχωρισμένων, τῇ Πλάτωνος κατηγορίᾳ. ὅτι μὲν οὖν σεβαστικῶς διάκεισαι πρὸς τὸν ἄνδρα, ὀρθῶς ποιεῖς·
751 ὅτι | δὲ περὶ ἡμῶν τἀναντία ὑπείληφας, οὐκ ὀρθῶς.
εἰ γάρ τις ἄλλος ἐκπλήττεται ταῖς Πλατωνικαῖς ἑρμη- 2
νείαις, εὖ ἴσθι νῦν, κἀγὼ τούτων εἷς εἰμι. ὃ δὲ πέπονθα πρὸς ἅπαντας, ὅσοι τὰς αὑτῶν ἐπινοίας εἰς τὴν κοινὴν φέρουσιν ὠφέλειαν ἐπανορθοῦντες ἡμῶν βίους τε καὶ λόγους, ἐρῶ σοι, καὶ πείσω γε νὴ Δία, πιστεύων καινὸν οὐδὲν ἐρεῖν οὐδὲ παράδοξον οὐδ' ὃ μὴ πᾶσιν ὁμοίως δοκεῖ.

1 Ἐπιστολή | Διονύσιος γναίωι πομπηίωι χαίρειν MEV et omisso ἐπιστολή Ps Διονύσιος γναίω πομπηΐω χαίρειν B 3 παράσου Ps 7 ἐν seruari potuit, οἰκείως absolute dicitur ut supra 35, 19. 46, 5 al 8 κατακεχωρισμένων PBs κατεκεχωρισμένων M[1] κατακεχειρισμένων M[2] cf Sadaeus p 53 s 11 τἀναντία Kiesslingius mus Rhen t XXIII 254: ταῦτα libri 12 τὰς Πλατωνικὰς ἑρμηνείας exspectabat Sylburgius conl t I 431, 11 13 ἴσθι, νῦν κἀγὼ edebant ἴσθι ὅτι κἀγὼ ci Reiskius 15 ἡμῖν Herwerdenus 16 πιστεύειν libri: corr Kiesslingius 17 εὑρεῖν libri: corr Reiskius

SISMANOGLIO MEGARO

3 Ἐγὼ οὖν νομίζω δεῖν, ὅταν μὲν ἔπαινον προέληται γράφειν τις πράγματος εἴτε σώματος ὁποίου γέ τινος, τὰς ἀρετὰς αὐτοῦ καὶ οὐ τἀτυχήματα, εἴ τινα πρόσεστι, [τῷ πράγματι ἢ τῷ σώματι δεῖν] προφέρειν· ὅταν δὲ βουληθῇ διαγνῶναι, τί τὸ κράτιστον ἐν ὅτῳ δή ποτε βίῳ καὶ τί τὸ βέλτιστον τῶν ὑπὸ ταὐτὸ γένος ἔργων, τὴν ἀκριβεστάτην ἐξέτασιν προσφέρειν καὶ μηδὲν παραλείπειν τῶν προσόντων αὐτοῖς εἴτε κακῶν εἴτε ἀγαθῶν· | ἡ γὰρ ἀλήθεια οὕτως εὑρίσκεται μάλιστα, ἧς 752
4 οὐδὲν χρῆμα τιμιώτερον. τοῦτο δὴ προθέμενος ἐκεῖνο λέγω· εἰ μὲν ἔστι μοι κατὰ Πλάτωνος λόγος τις καταδρομὴν περιέχων τοῦ ἀνδρὸς ὥσπερ Ζωΐλῳ τῷ ῥήτορι, ἀσεβεῖν ὁμολογῶ· καὶ εἴ γε βουληθεὶς ἐγκώμιον αὐτοῦ γράφειν ψόγους τινὰς συγκαταπλέκω τοῖς ἐπαίνοις, ἀδικεῖν φημι καὶ παρεκβαίνειν τοὺς καθεστῶτας ἡμῖν ἐπὶ τοῖς ἐπαίνοις νόμους· οὐ γὰρ ὅτι διαβολὰς οἴομαι
5 δεῖν γράφειν ἐν αὐτοῖς, ἀλλ' οὐδ' ἀπολογίας. εἰ δὲ χαρακτῆρας λόγου προελόμενος σκοπεῖν καὶ τοὺς πρωτεύοντας ἐν αὐτοῖς φιλοσόφους τε καὶ ῥήτορας ἐξετάζειν τρεῖς μὲν ἐξ ἁπάντων ἐξελεξάμην τοὺς δοκοῦντας εἶναι λαμπροτάτους, Ἰσοκράτην τε καὶ Πλάτωνα καὶ Δημοσθένη, ἐκ δὲ τούτων αὐτῶν πάλιν προέκρινα

2 γέ] δή Kiesslingius 3 αὐτὸν Herwerdenus | τ' ἀτυχήματα V, E τὰ τυχήματα M τὰ ἀτυχήματα PBs | εἴ τι libri: corr Reiskius 4 τῷ πράγματι ἢ τῷ σώματι expunxerat Herwerdenus, ego cum Kiesslingio δεῖν addidi spuriis 5 ὅτω δέ ποτε P 7 προφέρειν libri. cf Plato Philebi p $23^a$ 9 in u ἀλήθεια, ἧς . . . τιμιώτερον uestigia poetae dispexit Brinkmannus conl Nauckio ad Eurip fr 1029 10 δή] δὲ s 11 ἔστί V ἐστί MPB ἔστι s 14 γράφειν λόγους libri: corr Holwellus p 330 et Bontadosus | ἐγκαταπλέκω cum Reiskio Herwerdenus
15 ἀδικεῖν . . . 16 τοῖς ἐπαίνοις om Ps cf Sauppius *Gött. gel. Anz.* 1863 p 123 18 κοπεῖν E | πρωτεύσαντας Sadaeus p 207 s 19 φιλοσόφοις M

SISMANOGLIO MEGARO



Δημοσθένη, οὐδὲν ᾤμην οὔτε Πλάτωνα οὔτε Ἰσοκράτην ἀδικεῖν.

753 | Νὴ Δία, φῄς, ἀλλ' οὐκ ἔδει σε τὰ Πλάτωνος 6
ἁμαρτήματα ἐξελέγχειν, βουλόμενον ἐπαινεῖν Δημοσθένη. ἔπειτα πῶς ἄν μοι τὴν ἀκριβεστάτην βάσανον ὁ λόγος ἔλαβεν, εἰ μὴ τοὺς ἀρίστους λόγους τῶν Ἰσοκράτους τε καὶ Πλάτωνος τοῖς κρατίστοις ⟨τῶν⟩ Δημοσθένους ἀντιπαρέθηκα καὶ καθ' ὃ μέρος ἥττους οἱ τούτων λόγοι εἰσὶ τῶν ἐκείνου, μετὰ πάσης ἀληθείας ἐπέδειξα, οὐχ ἅπαντα τοῖς ἀνδράσιν ἐκείνοις ἡμαρτῆσθαι λέγων (μανίας γὰρ τοῦτό γε), ἀλλ' οὐδ' ἅπαντα ἐπίσης κατωρθῶσθαι. εἰ δὲ τοῦτ' οὐκ ἐποίουν, ἐπῄ- 7
νουν δὲ Δημοσθένη πάσας διεξιὼν αὐτοῦ τὰς ἀρετάς, ὡς μὲν ἀγαθὸς ὁ ῥήτωρ, ἔπεισα πάντως ἂν τοὺς ἀναγνωσομένους· ὡς δὲ καὶ κράτιστος πάντων τῶν πρωτευσάντων περὶ λόγους, οὐκ ἂν ἔπεισα μὴ παρατιθεὶς αὐτῷ τοὺς ἀρίστους· πολλὰ γὰρ τῶν καθ' αὑτὰ φαινομένων καλῶν καὶ θαυμαστῶν ἑτέροις ἀντιπαρατε-
754 θέντα κρείττοσιν ἐλάττω τῆς δόξης ἐφάνη. οὕτω | γέ τοι καὶ χρυσὸς ἑτέρῳ χρυσῷ παρατεθεὶς κρείττων εἴτε καὶ χείρων εὑρίσκεται καὶ πᾶν ἄλλο χειρούργημα, καὶ ὅσων ἐνέργεια τὸ τέλος. εἰ δὲ ἀχάριστον ὑπολήψεταί 8
τις ἐν τοῖς πολιτικοῖς λόγοις τὴν ἐκ τῆς συγκρίσεως ἐξέτασιν καὶ καθ' ἑαυτὸν ἕκαστον ἀξιώσει σκοπεῖν,

1 ἰσοκράτη E 3 φησίν libri φήσεις ci Sylburgius 4 δημοσθένη MEV: Δημοσθένην uolgatur 7 τῶν cum Herwerdeno inserui 12 κατορθῶσθαι P | τοῦτο οὐκ VPs 13 δημοσθένην libri | ἀρετὰς mg B γραφὰς $B^1$ 14 ὁ om E
17 κατ' αὐτὰ $B^1$ 20 εἴτε] τε libri 22 ὅσον MV | ἐνάργεια libri: corr Bontadosus. cf supra p 134, 11 τέχνας ὧν ἐνέργειά τις ἢ ποίησις τὸ τέλος 23 τῆς deleuit Herwerdenus
24 ἑαυτὸ Bs | ἀξιώσεις E

οὐδὲν κωλύσει τὸ αὐτὸ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων
ποιεῖν, καὶ μήτε ποίησιν ἀντεξετάζειν ἑτέρᾳ ποιήσει
μήθ' ἱστορικὴν σύνταξιν ἑτέρᾳ συντάξει μήτε πολιτείαν
πολιτείᾳ μήτε νόμον νόμῳ, μὴ στρατηγὸν στρατηγῷ,
μὴ βασιλεῖ βασιλέα, μὴ βίῳ βίον, μὴ δόγματι δόγμα·
τοῦτο δ' οὐκ ἄν τις συγχωρήσειε νοῦν ἔχων.

9 Εἰ δὲ δεῖ καὶ τὰς ἐκ τῶν μαρτυριῶν παρασχέσθαι
σοι πίστεις, ἐξ ὧν μᾶλλόν σοι γενήσεται καταφανές,
ὅτι κράτιστος ἐλέγχου τρόπος ὁ κατὰ σύγκρισιν γιγνό-
μενος, ἀφεὶς τοὺς ἄλλους αὐτῷ χρήσομαι μάρτυρι Πλά-
10 τωνι. βουληθεὶς γὰρ ὁ ἀνὴρ ἐπιδείξασθαι τὴν αὐτοῦ
δύναμιν ἣν εἶχεν ἐν τοῖς πολιτικοῖς λόγοις, οὐκ
ἠρκέ|σθη ταῖς ἄλλαις γραφαῖς, ἀλλὰ καὶ * * * κρατί- 755
στου τῶν τότε ῥητόρων ἕτερον αὐτὸς ἐν τῷ Φαίδρῳ
συνετάξατο λόγον ἐρωτικὸν εἰς τὴν ⟨αὐτὴν⟩ ὑπόθεσιν·
καὶ οὐδὲ ἄχρι τούτου προελθὼν ἐπαύσατο καταλιπὼν
ἐπὶ τοῖς ἀναγνωσομένοις τὴν διάγνωσιν, πότερός ἐστι
κρείττων λόγος, ἀλλὰ καὶ τῶν ἁμαρτημάτων ἥψατο
τῶν Λυσιείων, τὰς μὲν λεκτικὰς μαρτυρῶν τῷ ἀνδρὶ
11 ἀρετάς, τῶν δὲ πραγματικῶν ἐπιλαμβανόμενος. ὁπότε
οὖν Πλάτων τὸ φορτικώτατον καὶ ἐπαχθέστατον τῶν
ἔργων προελόμενος, αὐτὸν ἐπαινεῖν κατὰ τὴν δύναμιν
τῶν λόγων, οὐδὲν ᾤετο ποιεῖν κατηγορίας ἄξιον, εἰ
παρὰ τὸν ἄριστον τῶν τότε ῥητόρων τοὺς ἰδίους ἐξ-

4 μὴ νόμον libri 5 βί[ω] βί[ον] cum rasura M 7 δεῖ] δὴ MEB[1] 9 ὁ Ps: om MEVB | γιγνόμενος MVB: γινόμενος EPs 10 ἀφεὶς M 13 hiatum etiam Sadaeus sensit. quem sic fere expleas ἀλλὰ καὶ ⟨Λυσίου λόγον ἐρωτικὸν ἐκδεδωκότος, τοῦ⟩ κρατίστου | κράτιστον Ps 15 αὐτὴν cum Herwerdeno suppleui 17 ἐπὶ] ἐν libri, deleuit Reiskio auctore Herwerdenus | πότερος MEV: ὁπότερος PBs 18 λόγος deleuit Herwerdenus 19 λυσείων libri Λυσίου s 23 οὐδὲ V

SISMANOGLIO MEGARO



ετάζειν ἠξίου λόγους ἐπιδεικνύμενος Λυσίαν τε ἐν οἷς
ἡμάρτηκεν καὶ ἑαυτὸν ἐν οἷς κατώρθωκε, τί θαυμα-
στὸν ἐποίουν ἐγὼ τοῖς Δημοσθένους λόγοις συγκρίνων
τοὺς Πλάτωνος καὶ εἴ τι μὴ καλῶς ἐν αὐτοῖς ἔχειν |
756 ᾤμην, ἐπιλογιζόμενος; ἐῶ γὰρ τὰς ἄλλας αὐτοῦ γρα- 12
φὰς παραφέρειν, ἐν αἷς κωμῳδεῖ τοὺς πρὸ ἑαυτοῦ,
Παρμενίδην τε καὶ Ἱππίαν καὶ Πρωταγόραν καὶ Πρό-
δικον καὶ Γοργίαν καὶ Πῶλον καὶ Θεόδωρον καὶ Θρα-
σύμαχον καὶ ἄλλους συχνούς, οὐκ ἀπὸ τοῦ βελτίστου
πάντα περὶ αὐτῶν γράφων ἀλλ' εἰ βούλει, καὶ ἀπὸ
φιλοτιμίας· ἦν γάρ, ἦν ἐν τῇ Πλάτωνος φύσει πολλὰς 13
ἀρετὰς ἐχούσῃ τὸ φιλότιμον. ἐδήλωσε δὲ τοῦτο μά-
λιστα διὰ τῆς πρὸς Ὅμηρον ζηλοτυπίας, ὃν ἐκ τῆς
κατασκευαζομένης ὑπ' αὐτοῦ πολιτείας ἐκβάλλει στεφα-
νώσας καὶ μύρῳ χρίσας, ὡς δὴ τούτων αὐτῷ δέον
ἐκβαλλομένῳ, δι' ὃν ἥ τε ἄλλη παιδεία πᾶσα παρῆλθεν
εἰς τὸν βίον καὶ τελευτῶσα φιλοσοφία. ἀλλὰ θῶμεν 14
ἀπὸ τοῦ βελτίστου δι' αὐτὴν τὴν ἀλήθειαν πάντα
λέγειν [ἀληθῆ] Πλάτωνα· τί οὖν ἄτοπον ἐποιοῦμεν
⟨αὐτοὶ⟩ τοῖς ἐκείνου νόμοις χρώμενοι καὶ ἀντιπαρ-
εξετάζειν αὐτῷ τοὺς τῶν ἐπακμασάντων λόγους βουλό-
μενοι;

14 s Plato rei publ III p 398[a]

2 ἡμάρτηκε s 5 ὑπολογιζόμενος ci Herwerdenus 7 προταγόραν P 8 θεώδωρον P[1] 11 ἦν γὰρ ἦν μὲν τῇ libri (sed μὲν om E): corr Kruegerus | φύσει om E 13 ζηλωτυπίας P[1] 15 τούτων libri: τούτου Reiskius 16 ἐκβαλλομένῳ libri: ἐκβαλλομένου Reiskius cum structura latina non graeca. neque sententia dubia est 17 ἡ ante φιλοσοφία Reiskio auctore Kruegerus inseruit 18 ἀπὸ] εἰς τὸν βίον ἀπὸ E[1] 19 ἀληθῆ deleuit Herwerdenus cf Vlietius Stud crit p 79 20 αὐτοὶ interposui, ἡμεῖς praeeunte Kruegero Herwerdenus

15 | Ἔπειτ᾿ οὐ μόνος οὐδὲ πρῶτος ἐγὼ φανήσομαι 757
περὶ Πλάτωνος ἐπιχειρήσας τι λέγειν. οὐδ᾿ ἄν τις
ἔχοι κατ᾿ αὐτὸ τοῦτο μέμψασθαί με τὸ μέρος, ὅτι τὸν
ἐπιφανέστατον τῶν φιλοσόφων καὶ πλείοσιν ἢ δώδεκα
γενεαῖς ἐμαυτοῦ πρεσβύτερον ἐξετάζειν * * * ἐπεβαλό-
16 μην ὡς δὴ διὰ τοῦτο δόξης τινὸς τευξόμενος. πολλοὶ
γὰρ εὑρεθήσονται πρὸ ἐμοῦ τοῦτο πεποιηκότες, οἳ μὲν
κατὰ τὸν ἐκείνου γενόμενοι χρόνον, οἳ δὲ λίαν ὕστερον
ἐπακμάσαντες. καὶ γὰρ τὰ δόγματα διέβαλον αὐτοῦ
τινες καὶ τοὺς λόγους ἐμέμψαντο πρῶτον μὲν ὁ γνη-
σιώτατος αὐτοῦ μαθητὴς Ἀριστοτέλης, ἔπειτα οἱ περὶ
Κηφισόδωρόν τε καὶ Θεόπομπον καὶ Ζωΐλον καὶ Ἱπ-
ποδάμαντα καὶ Δημήτριον καὶ ἄλλοι συχνοί, οὐ διὰ
φθόνον ἢ διὰ φιλαπεχθημοσύνην κωμῳδοῦντες ἀλλὰ
17 τὴν ἀλήθειαν ἐξετάζοντες. τοσούτοις δὴ καὶ τηλικού-
16 τοις ἀνδράσι παραδείγμασι χρώμενος καὶ παρὰ πάντας
τῷ μεγίστῳ Πλάτωνι οὐδὲν ἡγούμην τῆς φιλοσόφου
ῥητορικῆς ποιεῖν ἀλλότριον ἀγαθοὺς ἀγαθοῖς ἀντεξετά-
ζων. περὶ μὲν οὖν τῆς προαιρέσεως, ἣν ἔσχον ἐν τῇ
συγκρίσει τῶν χαρακτήρων, ἱκανῶς ἀπολελόγημαι καὶ
σοί, Γεμῖνε φίλτατε. |

2 Λοιπὸν δ᾿ ἐστί μοι καὶ περὶ αὐτῶν ὧν εἴρηκα λό- 758
γων περὶ τἀνδρὸς ἐν τῇ περὶ τῶν Ἀττικῶν πραγμα-
τείᾳ ῥητόρων εἰπεῖν. θήσω δὲ αὐταῖς λέξεσιν, ὡς ἐκεῖ

1 οὐδὲ μόνος οὐδὲ libri: corr Herwerdenus οὔτε μ. οὔτε Sadaeus p 210 | ἐγὼ φανήσομαι] ἐπιφανήσομαι Vs 2 περὶ] κατὰ Herwerdenus 3 καθ᾿ B[1] | τὸν] τῶν E 5 spatio XVII litterarum hiat M XV—XVI E, XIV V: hiatum non indicant PBs 7 προεμοῦ MB 9 ἐπεκμάσαντες P 10 ἐμέμψατο M[1] | πρῶτος Herwerdenus | γνησιότατος P 12 ζωΐζον P | Ἱπποδάμαντα] Ἀλκιδάμαντα Kruegerus temere 19 ἣν] ἧς ci Herwerdenus | ἔχον B[1] 20 ἀπολελόγισμαι libri: corr Reiskius 21 σοί γε ἡμῖν φίλτατε libri: corr Wilamowitzius



γέγραφα· "Ἡ δὲ δὴ Πλατωνικὴ διάλεκτος βούλεται 2
μὲν εἶναι καὶ αὐτὴ μῖγμα ἑκατέρου τῶν χαρακτήρων,
τοῦ τε ὑψηλοῦ καὶ ἰσχνοῦ, καθάπερ εἴρηταί μοι πρό-
τερον· πέφυκε δὲ οὐχ ὁμοίως πρὸς ἀμφοτέρους τοὺς
χαρακτῆρας εὐτυχής. ὅταν μὲν οὖν τὴν ἰσχνὴν καὶ 3
ἀφελῆ καὶ ἀποίητον ἐπιτηδεύῃ φράσιν, ἐκτόπως ἡδεῖά 6
ἐστι καὶ φιλάνθρωπος. καθαρά τε γὰρ ἀποχρώντως
γίνεται καὶ διαυγής, ὥσπερ τὰ διαφανέστατα τῶν να-
μάτων, ἀκριβής τε καὶ λεπτὴ παρ᾿ ἥντιν᾿ οὖν ἑτέραν
759 τῶν τὴν αὐτὴν διάλεκτον | εἰργασμένων, τήν τε κοινό- 4
τητα διώκει τῶν ὀνομάτων καὶ τὴν σαφήνειαν ἀσκεῖ 11
πάσης ὑπεριδοῦσα κατασκευῆς ἐπιθέτου· ὅ τε πῖνος ὁ
τῆς ἀρχαιότητος ἠρέμα αὐτῇ καὶ λεληθότως ἐπιτρέχει
ἱλαρόν τέ τι καὶ τεθηλὸς καὶ μεστὸν ὥρας ἄνθος
ἀναδίδωσι, καὶ ὥσπερ ἀπὸ τῶν εὐωδεστάτων λειμώνων
αὖρά τις ἡδεῖα ἐξ αὐτῆς φέρεται, καὶ οὔτε τὸ λιγυρὸν
ἔοικεν ἐμφαίνειν λάλον οὔτε τὸ κομψὸν θεατρικόν.
ὅταν δ᾿ εἰς τὴν περιττολογίαν καὶ τὸ καλλιεπεῖν, ὃ 5
πολλάκις εἴωθε ποιεῖν, ἄμετρον ὁρμὴν λάβῃ, πολλῷ

1—p 230, 12 = de Demosthene c 5—7 p 136, 11—139, 20
12 πῖνος ὁ ῥύπος ἤτοι ὁ ἐπικείμενος χνοῦς ὡς ἐπὶ μήλων καὶ ἀπίων καὶ δαμασκηνῶν scholion. cf supra p 37 t I 137

1 ἔγραψα P | proxima usque ad p 230, 12 ex libro de Demosthene (Δ dico) petita sunt non nullis ut facere Dionysius solet (cf Sadaeus p 16. 141 s) mutatis. unde H Stephanus editionem principem (s) modo recte emendauit modo male interpolauit 2 μῖγμα Δ: δεῖγμα (ex μεῖγμα) libri 3 καὶ etiam Δ: καὶ τοῦ Herwerdenus 4 δ᾿ Δ 6 ἐπιτηδεύει MP | ἡδεῖα] ἰδία P 7 τε om Δ 8 ναμάτων Δs: σωμάτων libri 10 τὴν] εἰς τὴν Δs | κοινωτητα P[1] 12 ὑπεριδοῦσα ΔBs: ὑπεριδοῦσαν MEVP | πῖνος libri: πῖνος αὐτῇ καὶ χνοῦς Δs ex interpolatione cf scholion utrique loco adscriptum 13 αὐτῇ om Δs 14 ἱλαρόν MEVPB: χλοερόν Δs | τι om E 16 φέρεται Δs: εἰσφέρεται libri 18 καλλιεπεῖν Δ[m] (i e codex M): κάλλιστον εἰπεῖν libri κάλλιον εἰπεῖν Δ(uolg)s

χείρων ἑαυτῆς γίγνεται· καὶ γὰρ ἀηδεστέρα καὶ κάκιον
ἑλληνίζουσα καὶ παχυτέρα φαίνεται· μελαίνει τε τὸ
σαφὲς καὶ ζόφῳ ποιεῖ παραπλήσιον, ἕλκει τε μακρὸν
ἀποτείνουσα τὸν νοῦν, συστρέψαι δὲ δέον ἐν ὀλίγοις
ὀνόμα|σιν ἐκχεῖται εἰς ἀπειροκάλους περιφράσεις, πλου- 760
τον ὀνομάτων ἐπιδεικνυμένη, ὑπεριδοῦσα δὲ τῶν κυρίων
ὀνομάτων κἀν τῇ κοινῇ χρήσει κειμένων τὰ πεποιημένα
6 ζητεῖ καὶ ξένα καὶ ἀρχαιοπρεπῆ. μάλιστα δὲ χειμάζε-
ται περὶ τὴν τροπικὴν φράσιν· πολλὴ μὲν γὰρ ἐν τοῖς
ἐπιθέτοις, ἄκαιρος δ' ἐν ταῖς μετωνυμίαις, σκληρὰ δὲ
καὶ οὐ σῴζουσα τὴν ἀναλογίαν ἐν ταῖς μεταφοραῖς
γίγνεται, ἀλληγορίας τε περιβάλλεται μακρὰς καὶ πολ-
λὰς οὔτε μέτρον ἐχούσας οὔτε καιρόν, σχήμασί τε
ποιητικοῖς ἐσχάτην προσβάλλουσιν ἀηδίαν, καὶ μάλιστα
τοῖς Γοργιείοις ἀκαίρως καὶ μειρακιωδῶς ἐναβρύνεται·
καὶ 'πολὺς ὁ τελέτης ἐστὶν ἐν τοῖς τοιούτοις παρ'
αὐτῷ', ὡς καὶ Δημήτριος ὁ Φαληρεύς εἴρηκέ που καὶ
ἄλλοι συχνοί· 'οὐ γὰρ ἐμὸς ὁ μῦθος'.
7 Μηδεὶς δέ με ταῦτα ἡγείσθω λέγειν ἁπάσης κατα-

16 Demetrius Phal fr 18 Euripides fr 484 p 511 Nauck

1 ⟨αὐτὴ⟩ ἑαυτῆς Herwerdenus. tu cf t I 325, 8 Sauppius *Gött gel anz* 1863 p 129 | καὶ γὰρ] καὶ P | ἀηδεστέρα] ἀηδεστέρα τῆς ἑτέρας Δs | κακίων MEVB 2 τε Δ Hudsonus cf Sadaeus p 105: τε γὰρ libri 3 τε] τ' εἰς Kruegero auctore Herwerdenus, cf Sauppius l s 129 s 4 δὲ om Δ 5 χεῖται δ' εἰς Δ 6 ἐπιδεικνυμένη] ἐπιδεικνυμένη κενόν Δs | δὲ] τε Δs | κυρίων] ἰδίων E 7 ὀνομάτων om Δs | καὶ ἐν Δs καὶ libri: corr Herwerdenus | κοινῇ] κοι E 9 γὰρ om Δ 10 ἄκαινος E | δὲ ἐν PB | μετωνυμίαις Δ: ἐπωνυμίαις libri 11 ταῖς συμφοραῖς E 13 καιρόν] καινὸν E 14 προβάλλουσιν P 15 γοργειίοις libri γοργίοις Δ: corr Herwerdenus | ἐναμβρύνεται E ἐναβρύεται V 16 πολὺς ὁ τελετὴς libri πολυτέλειά τις Δs. cf Meinekius anal Alex p 343 | ἐστὶν om Δ (non s) 18 συχνοί libri: συχνοὶ πρότερον Δ Sylburgius 19 ἠγεῖσθω B



761 γινώσκοντα τῆς ἐγκατασκεύου καὶ ἐξηλλαγμένης λέ|ξεως
ᾗ κέχρηται Πλάτων (μὴ γὰρ οὕτω σκαιὸς γενοίμην
ὥστε ταύτην τὴν δόξαν περὶ ἀνδρὸς τηλικούτου λαβεῖν),
ἐπεὶ πολλὰ καὶ περὶ πολλῶν οἶδα μεγάλα καὶ θαυ-
μαστὰ καὶ ἀπὸ τῆς ἄκρας δυνάμεως ἐξενηνεγμένα ὑπ'
αὐτοῦ· ἀλλ' ἐκεῖνο ἐνδείξασθαι βουλόμενον, ὅτι τὰ
τοιαῦτα ἁμαρτήματα ἐν ταῖς κατασκευαῖς εἴωθεν ἁμαρ-
τάνειν, καὶ χείρων ⟨μὲν⟩ αὐτὸς αὑτοῦ γίνεται, ὅταν
τὸ μέγα διώκῃ καὶ περιττὸν ἐν τῇ φράσει, μακρῷ δέ
τινι ἀμείνων, ὅταν τὴν ἰσχνὴν καὶ ἀκριβῆ ⟨καὶ⟩ δο-
κοῦσαν μὲν ἀποίητον εἶναι κατεσκευασμένην δὲ ἀμω-
μήτῳ καὶ ἀφελεῖ κατασκευῇ διάλεκτον εἰσφέρῃ· ἢ γὰρ
οὐδὲν ἁμαρτάνει ἢ κομιδῇ βραχύ τι καὶ οὐκ ἄξιον
κατηγορίας. ἐγὼ δὲ ἠξίουν τηλικοῦτον ἄνδρα πεφυ- 8
λάχθαι πᾶσαν ἐπιτίμησιν. ταῦτα γὰρ οἵ τε κατ' αὐτὸν
γενόμενοι πάντες ἐπιτιμῶσιν, ὧν τὰ ὀνόματα οὐδὲν
δεῖ με λέγειν, καὶ αὐτὸς ἑαυτῷ (τοῦτο γὰρ τὸ λαμ-
762 πρότατον)· ᾔσθετο γὰρ | τῆς ἰδίας ἀπειροκαλίας καὶ
ὄνομα ἔθετ' αὐτῇ τὸ διθύραμβον· ὃ νῦν ἂν ᾐδέσθην

19 Plato Phaedri p $238^{d}$ cf $241^{e}$

1 ἐξηλαγμένης P 2 Πλάτων Δs: πλάτων τῆς τοιαύτης φράσεως libri | μὴ γὰρ οὕτω σκαιὸς MEVB οὐ γὰρ οὕτω σκαιὸς P: μὴ (οὐ s) γὰρ ἂν οὕτω σκαιὸς μηδ' ἀναίσθητος ἐγὼ Δs 4 καὶ ante περὶ om Δ 6 βουλόμενον M Reiskius: βουλόμενος PEVBΔs | τὰ om Δ 8 μὲν Δs: om libri | αὑτοῦ EBs: αὐτοῦ MVP 9 διώκ[η] cum litura B 10 καὶ ante δοκοῦσαν Δs: om libri 11 κατασκευασμένην MP | ἀμωμήτῳ EP, s: ἀμωκήτῳ MVB ἀμωμήτως Δ 12 ἀφελῇ E 13 ἢ κομιδῇ (κω- V) βραχύ τι libri: καθάπαξ ἢ βραχύ τι κομιδῇ Δs | τι in rasura M 15 ταῦτα γὰρ libri | γὰρ οἵ τε] μέντοι καὶ οἱ Δ | καθ' αὐτὸν MV 16 πάντες] ὡς ἁμαρτάνοντι τῷ ἀνδρὶ Δ 17 γὰρ] γὰρ δὴ Δs 18 γὰρ] γὰρ ὡς ἔοικεν Δs 19 ὄνομαμα sed puncto subiecto corr M | ἔθετ' EVPB ἔθετ M: ἔθετο Δs | τὸ MEVPB: τὸν Δs del Herwerdenus

ἐγὼ λέγειν ἀληθὲς ὄν. τοῦτο δὲ παθεῖν ἔοικεν, ὡς
ἐγὼ νομίζω, τραφεὶς μὲν ἐν τοῖς Σωκρατικοῖς λόγοις
ἰσχνοτάτοις οὖσι καὶ ἀκριβεστάτοις, οὐ μείνας δ' ἐν
αὐτοῖς ἀλλὰ τῆς Γοργίου καὶ Θουκυδίδου κατασκευῆς
ἐρασθείς· ὥςτ' οὐδὲν ἔξω τοῦ εἰκότος ἔμελλεν πείσε-
σθαι σπάσας τινὰ καὶ τῶν ἁμαρτημάτων ἅμα τοῖς ἀγα-
θοῖς, ὧν ἔχουσιν οἱ τῶν ἀνδρῶν ἐκείνων χαρακτῆρες.
9 Παραδείγματα δὲ τῆς ἰσχνῆς καὶ τῆς ὑψηλῆς λέ-
ξεως ἐξ ἑνὸς βυβλίου τῶν πάνυ περιβοήτων παραθή-
σομαι, ἐν ᾧ τοὺς ἐρωτικοὺς ὁ Σωκράτης διατέθειται
λόγους πρὸς ἕνα τῶν γνωρίμων Φαῖδρον, ἀφ' οὗ τὴν
ἐπιγραφὴν εἴληφε τὸ βυβλίον' . . . . . . . . . . . . .
13 Ἐν γὰρ τούτοις τὸ μὲν πραγματικὸν οὐδαμῇ μέμφο- 764
μαι τοῦ ἀνδρός, τοῦ δὲ λεκτικοῦ μορίου τὸ περὶ τὴν
τροπικήν τε καὶ διθυραμβικὴν φράσιν ἐκπῖπτον, ἐν
οἷς οὐ κρατεῖ τοῦ μετρίου, ἐπιτιμῶ τε οὐχ ὡς τῶν
τυχόντων τῳ ἀλλ' ὡς ἀνδρὶ μεγάλῳ καὶ ἐγγὺς τῆς

1 ὡς] ὡς μὲν Δ 2 λόγοις E: διαλόγοις libri, Δs 4 αὐτοῖς ex τοῖς corr M | ἀλλὰ τῆς] ἄλλας M¹ | τῆς] τοῖς P 5 ὥστὲ P | ἔμελλε Δs 8 παράδειγμα δὲ Δs | τῆς ἰσχνῆς καὶ (τῆς addit unus P) ὑψηλῆς libri: ποιοῦμαι τῆς γε ὑψηλῆς Δs | τῆς τ' ἰσχνῆς Herwerdenus 9 βυβλίου EV: βιβλίου ceteri | παραθήσομαι] ποιήσομαι libri om Δs 10 ὁ Σωκράτης post 11 λόγους traicit Δs | διατέθειται MVPB: διατίθεται EΔs 11 γνωρίμην M¹ 12 βυβλίον in Δ exemplum Dudithianum: βιβλίον libri. post hanc uocem Stephanus ex Δ uerba c 7 p 139, 20 ἐν γὰρ δὴ . . . . 141, 6 φθέγγομαι ita inseruit ut ipse Platone adsumpto locum Phaedri p 238ᵇ ἡ γὰρ ἄνευ . . . . 238ᵈ φθέγγομαι integrum adscriberet, quo facto accidit ut eum Dionysii uerba interposita p 140, 19 καὶ τοσαύτην . . . 141, 2 καί φησι plane fugerint eorumque loco in hac epistula nunc Platonica p 238ᶜ ἀτὰρ ὦ φίλε . . . σὲ εἴληφε legantur. i nunc et crede ista librariorum errore intercidisse 13 ἐν γὰρ τούτοις] ἐν τούτοις μὲν οὖν s 14 τοῦ δὲ λεκτικοῦ μορίου] τῆς δὲ λέξεώς τι μόριον libri defensum a Schenkelio cl p 243, 4 16 τε] δ' Reiskius ci 17 τυχόντων τῳ s τυχόντών τω B: τυχόντων τῶ MVP τυχόντων τῶ ἄλλω E

SISMANOGLIO MEGARO



θείας ἐληλυθότι φύσεως, ὅτι τὸν ὄγκον τῆς ποιητικῆς
κατασκευῆς εἰς λόγους ἤγαγε φιλοσόφους ζηλώσας τοὺς
περὶ Γοργίαν, ὥςτε καὶ διθυράμβοις τινὰ ποιεῖν ἐοι-
765 κότα, καὶ μηδὲ ἀποκρύπτεσθαι τοῦτο τὸ ἁμάρ|τημα
ἀλλ' ὁμολογεῖν. καὶ σύ γε αὐτός, ὦ βέλτιστε Γεμῖνε, 14
ὁμοίαν ἐμοὶ γνώμην περὶ τἀνδρὸς ἔχων φαίνῃ δι'
αὐτῆς γέ τοι τῆς ἐπιστολῆς, ἐν οἷς κατὰ λέξιν οὕτω
γράφεις· 'ἐν μὲν γὰρ τοῖς ἑτέροις σχήμασι ῥᾴδιον
πεσεῖν μέσον τι ἐπαίνου καὶ μέμψεως· ἐν δὲ τῇ
κατασκευῇ τὸ μὴ ἐπιτευχθὲν πάντῃ ἀποτυγχάνεται.
διό μοι δοκεῖ τούτους τοὺς ἄνδρας οὐκ ἐκ τῶν ἐπι-
κινδυνοτέρων οὐδὲ ἐλασσόνων, ἀλλ' ἐκ τῶν πλείστων
καὶ εὐτυχηθέντων ἐξετάζειν'. καὶ μετ' ὀλίγα πάλιν 15
ἐπιλέγεις ταυτί· 'ἐγὼ δὲ καίπερ ἔχων ἀπολογήσασθαι
ὑπὲρ ἁπάντων ἢ τῶν γε πλείστων οὐ τολμῶ σοι
ἐναντία λέγειν· ἓν δὲ τοῦτο διισχυρίζομαι, ὅτι οὐκ
ἔστι μεγάλως ἐπιτυχεῖν ἐν οὐδενὶ τρόπῳ μὴ τοιαῦτα
τολμῶντα καὶ παραβαλλόμενον, ἐν οἷς καὶ σφάλλεσθαι
ἐστὶν ἀναγκαῖον'. Οὐδὲν διαφερόμεθα πρὸς ἀλλήλους· 16
σύ τε γὰρ ὁμολογεῖς ἀναγκαῖον εἶναι τὸν ἐπιβαλλό-
μενον μεγάλοις καὶ σφάλλεσθαί ποτε, ἐγώ τέ φημι τῆς
ὑψηλῆς καὶ μεγαλοπρεποῦς καὶ παρακεκινδυνευμένης
φράσεως ἐφιέμενον Πλάτωνα μὴ περὶ πάντα τὰ μέρη
766 κατορθοῦν, πολλο|στὴν μέντοι μοῖραν ἔχειν τῶν κατορ-
θουμένων τὰ διαμαρτανόμενα ὑπ' αὐτοῦ. καὶ καθ' ἓν

8 et 14 Cn Pompei fragmenta

1 ὅτι s: ὅτε libri 2 εἰς Kruegero auctore Herwerdenus: καὶ libri ἐπὶ Sylburgius 5 γεμῖνε MEB¹ γεμεῖνε V: γναῖε Ps mg B 6 ὅμοιαν B 7 ἐν ᾗ cum Kruegero Herwerdenus 10 ἐπιτυχθὲν Kruegerus 11 fort διὸ ⟨δεῖν⟩ μοι | ἐπικινδυνωτάτων libri: corr Herwerdenus 14 ἀπολογίσασθαι MVP 17 μεγάλας P¹ μεγάλων s 18 σφάλεσθαι P

τοῦτο Πλάτωνά φημι λείπεσθαι Δημοσθένους, ὅτι παρ' ᾧ μὲν ἐκπίπτει ποτὲ τὸ ὕψος τῆς λέξεως [τῶν λόγων] εἰς τὸ κενὸν καὶ ἀηδές, παρ' ᾧ δὲ οὐδέποτε ἢ σπανίως γε κομιδῇ. καὶ περὶ μὲν Πλάτωνος τοσαῦτα.

3 Περὶ δὲ Ἡροδότου καὶ Ξενοφῶντος ἐβουλήθης μαθεῖν, τίνα περὶ αὐτῶν ὑπόληψιν ἔχω, καὶ γράψαι με περὶ αὐτῶν ἐβουλήθης. πεποίηκα [καὶ] τοῦτο οἷς ⟨πρὸς⟩ Δημήτριον ὑπεμνημάτισμαι περὶ μιμήσεως. τούτων ὁ μὲν πρῶτος αὐτὴν περιείληφε τὴν περὶ τῆς μιμήσεως ζήτησιν, ὁ δὲ δεύτερος περὶ τοῦ τίνας ἄνδρας μιμεῖσθαι δεῖ ποιητάς τε καὶ φιλοσόφους, ἱστοριογράφους ⟨τε⟩ καὶ ῥήτορας, | ὁ δὲ τρίτος περὶ τοῦ πῶς 767 δεῖ μιμεῖσθαι μέχρι τοῦδε ἀτελής. ἐν δὴ τῷ δευτέρῳ περὶ Ἡροδότου τε καὶ Θουκυδίδου καὶ Ξενοφῶντος καὶ Φιλίστου καὶ Θεοπόμπου (τούτους γὰρ ἔκρινον τοὺς ἄνδρας εἰς μίμησιν ἐπιτηδειοτάτους) τάδε γράφω·

2 Εἰ δὲ δεῖ καὶ περὶ αὐτῶν εἰπεῖν, περὶ μὲν Ἡροδότου καὶ Θουκυδίδου ταῦτα φρονῶ. πρῶτόν τε καὶ σχεδὸν ἀναγκαιότατον ἔργον ἁπάντων ἐστὶ τοῖς γρά-

1 πλάτωνά ex πλάτων ἀ corr M  2 τῶν λόγων Sylburgio auctore Kruegerus seclusit. sed dubites utrum glossema sit, hoc an τῆς λέξεως  3 κενὸν M V$^2$B$^1$ καινὸν EV$^1$PB$^2$s cf Vlietius stud cr p 12 s | ἀληθὲς libri ἀηθὲς s: corr Holwellus  7 ἐβουλήθης seclusit Kruegerus ἐδεήθης ci Brinkmannus | πεποίηκα cf t I 258, 17 | καὶ ex antecedente syllaba natum est | οἷς πρὸς] εἰς libri  8 ὑπομνηματισμὸν libri ἐν τοῖς ⟨πρὸς⟩ Δημήτριον ὑπομνηματισμοῖς Schenkelius  9—10 ζητήσεως μίμησιν libri: corr Sylburgius  11 καὶ ante ἱστοριογράφους inseruit Herwerdenus  13 μέχρι τοῦδε] περὶ τούτου δὲ libri. quo seruato δ' ἔτι ἀτελὴς ⟨ὁ λόγος uel ἡ γραφή⟩ ci Schenkelius | ἀτελὴ[ς] cum rasura M$^1$ | δὴ] δὲ libri  15 ἐκκρίνων libri ἐκκρίνω Hudsonus ἐγκρίνω ego olim: corr Brinkmannus  16 ⟨ὡς⟩ εἰς ci Reiskius  19 πρῶτόν τε] πρῶτον ὅτι libri  20 γράφουσι V

SISMANOGLIO MEGARO



φουσιν πᾶσιν ἱστορίας ὑπόθεσιν ἐκλέξασθαι καλὴν καὶ κεχαρισμένην τοῖς ἀναγνωσομένοις. τοῦτο Ἡρόδοτος κρεῖττόν μοι δοκεῖ πεποιηκέναι Θουκυδίδου. 3 ἐκεῖνος μὲν γὰρ κοινὴν Ἑλληνικῶν τε καὶ βαρβαρικῶν πράξεων ἐξενήνοχεν ἱστορίαν, 'ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων ἐξίτηλα γένηται, μήτε ἔργα' . . . καὶ ἅπερ αὐτὸς εἴρηκε. τὸ γὰρ αὐτὸ προοίμιον καὶ ἀρχὴ καὶ τέλος ἐστὶ τῆς ἱστορίας. 4 ὁ δὲ Θουκυδίδης πόλεμον 768 ἕνα γράφει, καὶ τοῦτον | οὔτε καλὸν οὔτε εὐτυχῆ· ὃς μάλιστα μὲν ὤφειλε μὴ γενέσθαι, εἰ δὲ μή, σιωπῇ καὶ λήθῃ παραδοθεὶς ὑπὸ τῶν ἐπιγιγνομένων ἠγνοῆσθαι. ὅτι δὲ πονηρὰν εἴληφεν ὑπόθεσιν, καὶ αὐτός γε τοῦτο ποιεῖ φανερὸν ἐν τῷ προοιμίῳ· 5 πόλεις τε γὰρ δι' αὐτὸν ἐξερημωθῆναί φησι πολλὰς Ἑλληνίδας, τὰς μὲν ὑπὸ βαρβάρων, τὰς δ' ὑπὸ σφῶν αὐτῶν, καὶ φυγαδείας καὶ φθόρους ἀνθρώπων ὅσους οὔπω πρότερον γενέσθαι, σεισμούς τε καὶ αὐχμοὺς καὶ νόσους καὶ ἄλλας πολλὰς συμφοράς. ὥστε τοὺς ἀναγνόντας τὸ προοίμιον ἠλλοτριῶσθαι πρὸς τὴν ὑπόθεσιν, Ἑλληνικῶν μέλλοντας ἀκούειν. 6 ὅσῳ δὲ κρείττων ἡ τὰ θαυμαστὰ ἔργα δη-

5 Herodotus I 1  13—18 Thucyd I 23, 2 s

1 πᾶσιν] πάσας MEV om PBs | ἱστορίας uitiose iterauerat P$^1$  2 κεχαρμένην P  4 βαρβάρων libri: corr Schaefer ad Dion de compos uerb p 15  6 ἐξίτηλα γένηται om EV | ἐξίτιλα P | ἔργα MEV: τὰ ἔργα BPs. ἔργα ⟨μεγάλα καὶ θαυμαστά, τὰ μὲν Ἕλλησι τὰ δὲ βαρβάροις ἀποδειχθέντα ἀκλεᾶ γένηται⟩ ex Herodoto suppleuit Herwerdenus | καὶ ἅπερ] καθάπερ ci Sylburgius  7 προοίμιόν τε καὶ libri  11 ἐπιγινομένων MV  12 γε s: τε libri  13 αὐτῶν E  14 φησι πολλὰς MEV: φησὶ B φησιν Ps | τὰς μὲν MEV: πολλὰς τὰς μὲν PBs  15 φυγαδείας] φυγάδας libri φυγὰς s  16 φθόρους] φόνους s cf Thuc οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων καὶ φόνος  17 τε καὶ αὐχμοὺς καὶ νόσους iterauerat P$^1$ | νόσους] ὄμβρους νόσους E

λοῦσα Ἑλλήνων τε καὶ βαρβάρων γραφὴ τῆς τὰ οἰκτρὰ
καὶ δεινὰ πάθη τῶν Ἑλλήνων διαγγελλούσης, τοσούτῳ
φρονιμώτερος Ἡρόδοτος Θουκυδίδου κατὰ τὴν ἐκλογὴν
τῆς ὑποθέσεως. οὐδὲ γὰρ οὐδὲ τοῦτο ἔνεστιν εἰπεῖν,
ὅτι δι' ἀνάγκην ἦλθεν ἐπὶ ταύτην τὴν γραφήν, ἐπι-
στάμενος ⟨μὲν ὡς⟩ ἐκεῖνα καλλίω, βουλόμενος | δὲ μὴ 769
ταὐτὰ ἑτέροις γράφειν· πᾶν γὰρ τοὐναντίον ἐν τῷ
προοιμίῳ διασύρων τὰ παλαιὰ ἔργα κάλλιστα καὶ θαυ-
μασιώτατα τὰ καθ' αὑτὸν ἐπιτελεσθέντα φησὶν εἶναι,
7 καὶ φανερός ἐστι ταῦτα ἑκὼν ἑλόμενος. οὐ μὴν Ἡρό-
δοτός γε τοῦτο ἐποίησεν, ἀλλὰ τῶν πρὸ αὐτοῦ συγ-
γραφέων γενομένων Ἑλλανίκου τε καὶ Χάρωνος τὴν
αὐτὴν ὑπόθεσιν προεκδεδωκότων οὐκ ἀπετράπετο, ἀλλ'
ἐπίστευσεν αὑτῷ κρεῖσσόν τι ἐξοίσειν· ὅπερ καὶ πε-
ποίηκεν.

8 Δεύτερόν ἐστι τῆς ἱστορικῆς πραγματείας ἔργον
γνῶναι πόθεν τε ἄρξασθαι καὶ μέχρι τοῦ προελθεῖν
δεῖ. φαίνεται δὴ κἀν τούτῳ Θουκυδίδου πολὺ Ἡρό-
δοτος φρονιμώτερος· ἄρχεταί τε ἀφ' ἧς αἰτίας ἤρξαντο
πρῶτον κακῶς ποιεῖν τοὺς Ἕλληνας οἱ βάρβαροι, καὶ
προελθὼν εἰς τὴν ⟨τῶν⟩ βαρβάρων κόλασιν καὶ τι-
9 μωρίαν λήγει. ὁ δὲ Θουκυδίδης ἀρχὴν μὲν ἐποιήσατο
ἀφ' ἧς ἤρ|ξατο κακῶς πράττειν τὸ Ἑλληνικόν· ὅπερ 770
Ἕλληνα ὄντα καὶ Ἀθηναῖον οὐκ ἔδει ποιεῖν (καὶ ταῦτα

6 *μὲν ὡς* inserui syllabis antecedentibus hausta, *μὲν ὄντα* praeiuerat Herwerdenus 7 *ταὐτὰ*] *ταῦτα* ME 8 *κάλλιστα* s: *μάλιστα* libri *μέγιστα* Roesslerus 10 *προελόμενος* ci Reiskius 12 *Ἑλλανίκου*] *Ἑκαταίου* Benedictus | *χαίρωνος* libri: corr Stephanus p 77 13 *προεκδεδωκότος* MEV$B^1$ 14 *αὐτῷ* MEV *αὐτῶν* BPs: corr Herwerdenus | *πεποίηκε* (P?) s 17 *τοῦ*] *ποῦ* MEV 19 ⟨*ὃς*⟩ *ἄρχεται* Reiskius 20 *πρώτων* E 21 *τῶν* suppleuit Herwerdenus 23 *ἀφ' οὗ* Kruegerus | *κακῶς* E: *καλῶς* ceteri



οὐ τῶν ἀπερριμμένων ὄντα, ἀλλ' ὧν ἐν πρώτοις ἦγον
Ἀθηναῖοι στρατηγιῶν τε καὶ [τῶν] ἄλλων τιμῶν ἀξι-
οῦντες)· καὶ οὕτω γε φθονερῶς, ὥστε καὶ τῇ πόλει τῇ
ἑαυτοῦ τὰς φανερὰς αἰτίας τοῦ πολέμου περιάπτειν,
ἑτέραις ἔχοντα πολλαῖς ἀφορμαῖς περιάψαι τὰς αἰτίας,
καὶ ἄρξασθαί γε τῆς διηγήσεως μὴ ἀπὸ τῶν Κερκυραϊ-
κῶν, ἀλλ' ἀπὸ τῶν κρατίστων τῆς πατρίδος ἔργων, ἃ
μετὰ τὸν Περσικὸν πόλεμον εὐθὺς ἔπραξεν (ὧν ὑστε-
ρον οὐκ ἐν ἐπιτηδείῳ τόπῳ μνήμην ἐποιήσατο φαύλως
πως καὶ ἐξ ἐπιδρομῆς), διελθόντα δὲ ταῦτα μετὰ πολ-
λῆς εὐνοίας ὡς ἄνδρα φιλόπολιν ἔπειτ' ἐπενεγκεῖν,
ὅτι τούτων φθόνῳ καὶ δέει προελθόντες Λακεδαιμό-
νιοι προφάσεις ὑποθέντες ἑτεροίας ἦλθον ἐπὶ τὸν
πόλεμον, καὶ τότε λέγειν τὰ Κερκυραϊκὰ καὶ τὸ κατὰ
771 Μεγαρέων ψήφισμα καὶ εἴ | τι ἄλλο τοιοῦτο λέγειν
ἐβούλετο. τὰ δ' ἐν τέλει πλείονος ἁμαρτίας πλήρη· 10
καίπερ γὰρ λέγων ὅτι παντὶ τῷ πολέμῳ παρεγένετο,
καὶ πάντα δηλώσειν ὑποσχόμενος, εἰς τὴν ναυμαχίαν
τελευτᾷ τὴν περὶ Κυνὸς σῆμα γεγενημένην Ἀθηναίων
καὶ Πελοποννησίων, ἣ συνέβη κατὰ ἔτος εἰκοστὸν καὶ

1 *τῶν ἔτι εἰρημένων* libri: corr Holwellus ante Reiskium 2 *τῶν* del Kalinka *Festschr. f. Gomperz* p 105 3 *οὕτω . . . ὥστε*] *οὔ τί γε φανερῶς οὕτως* Sauppius | *οὕτω* MEV *οὔτε* B: *οὔτε* Ps | *φανερῶς* libri: corr Herwerdenus 4 *φανερὰς* del Sauppius | *τοῦ*] *τὰς* $P^1$ 5 quid ni *ἑτέρας ἔχ. πολλὰς ἀφορμὰς* Dionysius scripsit sine uerbis incommode iteratis *περιάψαι τὰς αἰτίας*? | *τὰς αἰτίας* del Sauppius 6 *καὶ*] immo *ἔδει δ'* | *γε*] *γ' ἔδει* Herwerdenus *μὲν* Reiskius falso cf p 234, 22. 235, 16
8 *εὐθὺς*] fort *εὐθενοῦσα* | *ἔπραξεν* M: *ἔπραξαν* EVPBs 9 *οὐκ*] *καὶ* libri *κἀν* Kruegerus | *ἐνεπιτηδείω* M *ἀνεπιτηδείῳ* 11 *ἐπενεγγεῖν* Kruegerus probante Schenkelio | *φαύλης* P 11 *ἐπενεγγεῖν* $P^1$ 12 *προελθόντες*] *προαχθέντες* Reiskius 13 *ἑτεροίας*] *ἑτέροις* libri *γρ ἑτέρας* Stephanus p 77 16 *τὰ δ' ἐν τέλει*] *τὰ δὲ τέλη* libri 19 *τελευτὰ* M | *Ἀθηναίων καὶ Πελοποννησίων* suspectat Herwerdenus

SISMANOGLIO MEGARO

δεύτερον. κρεῖττον δὲ ἦν διεξελθόντα πάντα τελευτὴν ποιήσασθαι τῆς ἱστορίας τὴν θαυμασιωτάτην καὶ μάλιστα τοῖς ἀκούουσι κεχαρισμένην, τὴν κάθοδον τῶν φυγάδων τῶν ἀπὸ Φυλῆς ἀφ' ὧν ἡ πόλις ἀρξαμένη τὴν ἐλευθερίαν ἀνεκομίσατο.

11 Τρίτον ἐστὶν ἀνδρὸς ἱστορικοῦ ⟨σκοπεῖν⟩, τίνα τε δεῖ παραλαβεῖν ἐπὶ τὴν γραφὴν πράγματα καὶ τίνα παραλιπεῖν. δοκεῖ δή μοι κἀν τούτῳ λείπεσθαι Θουκυδίδης. συνειδὼς γὰρ Ἡρόδοτος, ὅτι πᾶσα μῆκος ἔχουσα πολὺ διήγησις ἂν μὲν ἀναπαύσεις τινὰς λαμβάνῃ, τὰς ψυχὰς τῶν ἀκροωμένων ἡδέως διατίθησιν,
ἐὰν δὲ ἐπὶ τῶν | αὐτῶν μένῃ πραγμάτων, κἂν τὰ μά- 772
λιστα ἐπιτυγχάνηται, λυπεῖ τὴν ἀκοὴν τῷ κόρῳ, ποικίλην ἐβουλήθη ποιῆσαι τὴν γραφὴν Ὁμήρου ζηλωτὴς γενόμενος· καὶ γὰρ τὸ βυβλίον ἢν αὐτοῦ λάβωμεν, μέχρι τῆς ἐσχάτης συλλαβῆς ἀγάμεθα καὶ ἀεὶ τὸ πλέον
12 ἐπιζητοῦμεν. Θουκυδίδης δὲ πόλεμον ἕνα κατατείνας ἀπνευστὶ διεξέρχεται μάχας ἐπὶ μάχαις καὶ παρασκευὰς ἐπὶ παρασκευαῖς καὶ λόγους ἐπὶ λόγοις συντιθείς· ὥστε μοχθεῖν μὲν τὴν διάνοιαν τῶν ἀκροωμένων * * 'κόρον δ' ἔχει' φησὶν ὁ Πίνδαρος 'καὶ μέλι καὶ τὰ τέρπν'

21 Pindarus Nem 7, 52 s

1 πάντα libri: τὰ πάντα s 3 τῶν] τῶν ἀπὸ E¹ 4 ὧν] ἧς Reiskius 5 ἐκομίσατο libri: corr Radermacher mus Rhen 51, 464 6 σκοπεῖν suppleuit Reiskius ἔργον σκοπεῖν Herwerdenus 7 δεῖ] δὴ M¹ 8 κἂν B 9 συνειδῶς M. exspectes συνιδὼν 10 ἔχουσα πολὺ egregie Herwerdenus: ἔχουσα ἀπὸ λόγου libri 12 ἐπι . . . μάλιστα omissa in marg supplet M¹ 15 βιβλίον libri 16 fort ἀγόμεθα | πλεῖον s 17 κατατείνας] καί τινας libri 19 λόγους ἐπὶ λόγοις fuit qui coniceret 20 hiatum notaui perspectum iam Reiskio, intercidit colon alterum κόρον δ' ὑπέρχεσθαι uel δὲ λαβεῖν 21 τέρπν' ἄνθε'] τερπίθεα M τερπίθεα EVPB τερπνὰ s

SISMANOGLIO MEGARO



ἄνθε' ἀφροδίσια'. ἤδη δ' ὃ λέγω κἀκεῖνος ἐνεθυμήθη, ὡς ἡδὺ χρῆμα ἐν ἱστορίας γραφῇ μεταβολὴ καὶ ποικίλον, καὶ τοῦτο ἐν δύο ἢ τρισὶ τόποις ἐποίησεν, ἐπί τε τῆς Ὀδρυσῶν ἀρχῆς, δι' ἃς αἰτίας ἐγένετο μεγάλη, καὶ ἐπὶ τῶν ἐν Σικελίᾳ πόλεων. |

773 Μετὰ τοῦτο ἔργον ἐστὶν ἱστορικοῦ διελέσθαι τε 13
καὶ τάξαι τῶν δηλουμένων ἕκαστον ἐν ᾧ δεῖ τόπῳ. πῶς οὖν ἑκάτερος διαιρεῖται καὶ τάττει τὰ λεγόμενα; Θουκυδίδης μὲν τοῖς χρόνοις ἀκολουθῶν, Ἡρόδοτος δὲ ταῖς περιοχαῖς τῶν πραγμάτων. καὶ γίγνεται Θουκυδίδης μὲν ἀσαφὴς καὶ δυσπαρακολούθητος· πολλῶν γὰρ κατὰ τὸ αὐτὸ θέρος ἢ τὸν αὐτὸν χειμῶνα γιγνομένων ἐν διαφόροις ὡς εἰκὸς τόποις, ἡμιτελεῖς τὰς πρώτας πράξεις καταλιπὼν ἑτέρων ἅπτεται [τῶν κατὰ θέρος ἢ τὸν αὐτὸν χειμῶνα γιγνομένων]· πλανώμεθα δὴ καθάπερ εἰκός, καὶ δυσκόλως τοῖς δηλουμένοις
παρακολουθοῦμεν ταραττομένης τῆς διανοίας. Ἡρό- 14
δοτος δὲ ἀπὸ τῆς Λυδῶν βασιλείας ἀρξάμενος καὶ μέχρι τῆς Κροίσου καταβὰς ἐπὶ Κῦρον εὐθέως τὸν καταλύσαντα τὴν Κροίσου ἀρχὴν μεταβαίνει, Αἰγυπτίων

4 cf Thucyd II 97 5 cf idem VI 2—5

1 ἀφροδήσια MVB | ἤδη δὲ ἐγὼ κακεῖνο ἐνεθυμήθην libri ὃ δὲ δὴ λέγω, κἀκεῖνος ἐνεθυμήθη Herwerdenus ᾔδει δ' ὃ λέγω κἀκεῖνος ⟨καὶ⟩ ἐνεθυμήθη Schenkelius 2 ἱστορίας γραφῇ MV ἱστορίαις γραφῇ E: ἱστορίαις γραφῆς PBs | ποικιλία Reiskius. fort ποικίλην διὰ τοῦτο ἐν cf p 236, 13 4 fort ⟨διεξιὼν⟩ δι' ἃς 6 ⟨Τέταρτον⟩ μετὰ ci Kiesslingius. ac fieri potest ut post πόλεων plura interciderint 7 ᾧ] ὡς V 8 διαιρεῖται libri: διαιρεῖ τε s 10 γίνεται Es 12 ἢ τὸν αὐτὸν] καὶ libri: corr Herwerdenus ex u 15 14 τῶν . . . 15 γιγνομένων emblema ex uaria lectione u 12 ortum remouit Herwerdenus | κατὰ libri: κατὰ τὸ αὐτὸ s 15 ἢ τὸν αὐτὸν (αὐτῶν E) libri: ἢ s | γινομένων MEV 19 εὐθὺς ex εὔθυως corr V 20 μεταβαίνει . . . 238, 1 διηγημάτων omissa addit mg M¹ | μεταβαίνει om E

*τε ἄρχεται διηγημάτων καὶ Σκυθικῶν καὶ Λιβυκῶν, τὰ μὲν ὡς ἀκόλουθα δηλῶν, τὰ δὲ ὡς ἐπιζητούμενα προσαναλαμβάνων, τὰ δ' ὡς χαριεστέραν ποιήσοντα τὴν διήγησιν ἐπεισάγων· διεξελθών τε πράξεις Ἑλλήνων ⟨τε⟩ καὶ βαρβάρων ἔτεσιν | ὁμοῦ διακοσίοις καὶ* 774 *εἴκοσι γενομένας ἐν ταῖς τρισὶν ἠπείροις καὶ παραγράψας * * τῆς Ξέρξου φυγῆς τὴν ἱστορίαν οὐ διέσπασε τὴν διήγησιν· ἀλλὰ συμβέβηκε τῷ μὲν μίαν ὑπόθεσιν λαβόντι πολλὰ ποιῆσαι μέρη τὸ ἓν σῶμα, τῷ δὲ τὰς πολλὰς καὶ οὐδὲν ἐοικυίας ὑποθέσεις προελομένῳ σύμφωνον ἓν σῶμα πεποιηκέναι.*

15 *Μιᾶς δ' ἰδέας ἐπιμνησθήσομαι πραγματικῆς, ἣν οὐδεμιᾶς τῶν εἰρημένων ἧττον ἐν ἁπάσαις ἱστορίαις ζητοῦμεν, τὴν αὐτοῦ τοῦ συγγραφέως διάθεσιν, ᾗ κέχρηται πρὸς τὰ πράγματα περὶ ὧν γράφει· ἡ μὲν Ἡροδότου διάθεσις ἐν ἅπασιν ἐπιεικὴς καὶ τοῖς μὲν ἀγαθοῖς συνηδομένη, τοῖς δὲ κακοῖς συναλγοῦσα· ἡ δὲ Θουκυδίδου [διάθεσις] αὐθέκαστός τις καὶ πικρὰ καὶ τῇ πατρίδι τῆς φυγῆς μνησικακοῦσα. τὰ μὲν γὰρ ἁμαρτήματα ἐπεξέρχεται καὶ μάλα ἀκριβῶς, τῶν δὲ κατὰ νοῦν κεχωρηκότων καθάπαξ οὐ μέμνηται, ἢ ὥσπερ ἠναγκασμένος. |*

2 *ἐπιζητούμενα πρὸς ἀναλαμβάνων. τὰ δ' ὡς* MEV: om PBs 4 *ἑλλήνων καὶ* libri: *τε* restituit Sadaeus p 204 6 *γενόμενα* MEV | *παραγράψαι* est libro finito coronidem apponere cf quae monui in proecdosi p 68: *περιγράψας* (cum datiuo) Reiskius *πέρα γράψας* Schenkelius. hiatum indicaui, deest exempli causa *ἐν τοῖς ὕστερον γενομένοις* 10 *ἐοικυίας* ⟨*ἀλλήλαις*⟩ Herwerdenus 12 *ἔτι μνησθήσομαι* Sylburgius 14 *ζητοῦμεν ἱστορίαις* E 15 fort *ἡ μέν* ⟨*γ'*⟩ 17 *δὲ* iterat E | *κακοὺς* MV 18 *διάθεσις* deleuit Herwerdenus 21 *ἢ* ante *καθάπαξ* inseruit Herwerdenus | *οὐ*] *οὐδὲ* idem 22 *ἠναγκασμένως* libri: corr Reiskius



775 *Καὶ κατὰ μὲν τὸν πραγματικὸν τόπον ἥττων ἐστὶν Ἡροδότου διὰ ταῦτα Θουκυδίδης· κατὰ δὲ τὸν λεκτικὸν τὰ μὲν ἥττων, τὰ δὲ κρείττων, τὰ δ' ἴσος. ἐρῶ δὲ καὶ περὶ τούτων, ὡς ὑπείληφα.*

*Πρώτη τῶν ἀρετῶν γένοιτ' ἄν, ἧς χωρὶς οὐδὲ τῶν* 16 *ἄλλων τῶν περὶ τοὺς λόγους ὄφελός τι, ἡ καθαρὰ τοῖς ὀνόμασι καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα σῴζουσα διάλεκτος. ταύτην ἀκριβοῦσιν ἀμφότεροι· Ἡρόδοτός τε γὰρ τῆς Ἰάδος ἄριστος κανὼν Θουκυδίδης τε τῆς Ἀτθίδος. * * τρίτην ἔχει χώραν ἡ καλουμένη συντομία·* 17 *ἐν ταύτῃ δοκεῖ προέχειν Ἡροδότου Θουκυδίδης. καίτοι λέγοι τις ἄν, ὡς μετὰ τοῦ σαφοῦς ἐξεταζόμενον ἡδὺ φαίνεται τὸ βραχύ· εἰ δὲ ἀπολείποιτο τούτου, πικρόν· ἀλλὰ* | 776 *μηδὲν ⟨ἧττων⟩ ἔστω παρὰ τοῦτο. ἐνάργεια μετὰ ταῦτα τέτακται πρώτη μὲν τῶν ἐπιθέτων ἀρετῶν· ἱκανῶς ἐν ταύτῃ κατορθοῦσιν ἀμφότεροι. μετὰ ταύτην συνίσταται τὴν ἀρετὴν [τῶν] ἠθῶν τε* 18 *καὶ παθῶν μίμησις· διῄρηνται τὴν ἀρετὴν ταύτην οἱ συγγραφεῖς· Θουκυδίδης μὲν γὰρ τὰ πάθη δηλῶσαι κρείττων, Ἡρόδοτος δὲ τά γε ἤθη παραστῆσαι δεινό-*

1 *καὶ κατὰ*] *καὶ τὰ* $B^1$ | *τόπον*] *τοῦτον* libri. *τύπον* et hic et 247, 22 Sylburgius miro errore. artis est *τόπος* cf I 335, 10 II 4, 8. 5, 16. 7, 22 al ut *μέρος* I 357, 20. 381, 13 et *εἶδος* supra p 207, 6: scriptoris est *τύπος* cf 241, 22 ut *χαρακτήρ* infra 241, 4. 247, 4 5 *οὐδὲν* libri 6—7 in margine *λείπει* M 6 *τ[οὺς]* cum litura M | *ὄφελόςτι* $M^2$EV(?) *ὄφελόςτις* $M^1$, PB *ὄφελος. τίς;* s: *ὄφελός ἐστιν* (antea u 5 *οὐδὲν* seruato) Herwerdenus 10 hiare orationem Sylburgius perspexit. quid desit, epitoma docet p 207, 10 *τῆς σαφηνείας δὲ ἀναμφισβητήτως Ἡροδότῳ τὸ κατόρθωμα δέδοται* | *τρίτη* E 11 *πρόσχειν* P 12 *μετὰ* ⟨*μὲν*⟩ Herwerdenus 14 *ἧττων* suppleuit Kruegerus 15 *μὲν*] *μετὰ* libri | *μετὰ . . . 16 ταύτῃ* omissa in mg addit $M^1$ 17 *τῶν* expunxi ⟨*ἢ*⟩ *τῶν* Herwerdenus 18—19 [*οἱ θῶν μίμησις*] *οἱ συγγραφεῖς* expunctis quae seclusi M 20 *γε* s: *τε* libri. deleuit Herwerdenus

τερος. μετὰ ταῦτα αἱ τὸ μέγα καὶ θαυμαστὸν ἐκφαί-
νουσαι τῆς κατασκευῆς ἀρεταί· ἴσοι κἀν ταύταις οἱ
19 συγγραφεῖς. ἕπονται ταύταις αἱ τὴν ἰσχὺν καὶ τὸν
τόνον καὶ τὰς ὁμοιοτρόπους δυνάμεις τῆς φράσεως
ἀρεταὶ περιέχουσαι· κρείττων ἐν ταύταις Ἡροδότου
Θουκυδίδης. ἡδονὴν δὲ καὶ πειθὼ καὶ τέρψιν καὶ τὰς
ὁμοιογενεῖς ἀρετὰς εἰσφέρεται μακρῷ Θουκυδίδου κρείτ-
τονας Ἡρόδοτος. τῆς ⟨δὲ⟩ φράσεως [τῶν ὀνομάτων]
τὸ μὲν κατὰ φύσιν Ἡρόδοτος ἐζήλωκε, τὸ δὲ δεινὸν
20 Θουκυδίδης. ⟨λείπει⟩ πασῶν ἐν λόγοις ἀρετῶν ἡ
11 κυριωτάτη τὸ πρέπον· ταύτην ὁ Ἡρόδοτος ἀκριβοῖ
μᾶλλον ἢ Θουκυδίδης· ὁμοειδὴς γὰρ οὗτος ἐν πᾶσι,
κἀν ταῖς δημηγορίαις μᾶλλον ἢ ταῖς | διηγήσεσιν· 777
ἐμοὶ μέντοι καὶ τῷ φιλτάτῳ Καικιλίῳ δοκεῖ τὰ ἐνθυ-
μήματα αὐτοῦ μάλιστα ⟨μιμήσασθαί⟩ τε καὶ ζηλῶσαι
21 Δημοσθένης. Ἵνα δὲ συνελὼν εἴπω, καλαὶ μὲν αἱ
ποιήσεις ἀμφότεραι (οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις
αὐτὰς λέγων), διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστα ἀλ-
λήλων, ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἱλαρόν ἐστι, φο-
βερὸν δὲ τὸ Θουκυδίδου. ἀπόχρη ταῦτα εἰρῆσθαι περὶ
τούτων τῶν συγγραφέων, πολλῶν καὶ ἄλλων ἐνόντων
λέγεσθαι, περὶ ὧν καὶ ἕτερος ἔσται καιρός.

5 fort παρέχουσαι | ἐν ⟨μὲν⟩ Herwerdenus 8 δὲ s: om libri | τῶν ὀνομάτων deleuit Reiskius, cf Vlietius stud cr p 79
10 λείπει suppleui: ὁμοειδὴς libri ex u 12 male inculcatum et ab Herwerdeno aliisque explosum | πασῶν] πᾶς ὧν libri: corr Burkhardtus ad Caecilii fragm p 36 πασῶν δ' Sauppius *Goett. gel. anz.* 1863 p 132 et 1667 11 ἠρόδος (ἠρόδο teste Sadaeo) M 13 ἢ] ἢ 'ν Herwerdenus 14 ante ἐμοὶ hiare orationem post Reiskium Herwerdenus et Sauppius l s statuerunt. sed proximum enuntiatum Dionysius non ex libro de imitatione petiuisse sed hic Pompei caussa inseruisse uidetur
15 μάλιστά γε libri: correxit Sauppius l s p 1668 22 καὶ PEBs: om MV | καιρὸς ⟨ἐπιτηδειότερος⟩ ci Kiesslingius



Ξενοφῶν δὲ καὶ Φίλιστος οἱ τούτοις ἐπακμάσαντες 4
οὔτε φύσεις ὁμοίας εἶχον οὔτε προαιρέσεις. Ξενοφῶν
μὲν γὰρ Ἡροδότου ζηλωτὴς ἐγένετο κατ' ἀμφοτέρους
τοὺς χαρακτῆρας, τόν τε πραγματικὸν καὶ τὸν λεκτικόν.
πρῶτον μὲν γὰρ τὰς ὑποθέσεις τῶν ἱστοριῶν ἐξελέξατο
καλὰς καὶ μεγαλοπρεπεῖς καὶ ἀνδρὶ φιλοσόφῳ προση-
κούσας· τήν τε Κύρου παιδείαν, εἰκόνα βασιλέως |
778 ἀγαθοῦ καὶ εὐδαίμονος· καὶ τὴν ἀνάβασιν τοῦ νεω-
τέρου Κύρου, ᾧ καὶ αὐτὸς συνανέβη, μέγιστον ἐγκώ-
μιον ἔχουσαν τῶν συστρατευσαμένων Ἑλλήνων· καὶ
τρίτην ἔτι τὴν Ἑλληνικὴν καὶ ἣν κατέλιπεν ἀτελῆ
Θουκυδίδης, ἐν ᾗ καταλύονταί τε οἱ τριάκοντα καὶ τὰ
τείχη τῶν Ἀθηναίων, ἃ Λακεδαιμόνιοι καθεῖλον, αὖθις
ἀνίσταται. οὐ μόνον δὲ τῶν ὑποθέσεων χάριν ἄξιος 2
ἐπαινεῖσθαι [ζηλωτὴς Ἡροδότου γενόμενος], ἀλλὰ καὶ
τῆς οἰκονομίας· ταῖς τε γὰρ ἀρχαῖς αὐτῶν ταῖς πρε-
πωδεστάταις κέχρηται καὶ τελευτὰς ἑκάστη τὰς ἐπιτη-
δειοτάτας ἀποδέδωκε, μεμέρικέν τε καλῶς καὶ τέταχεν
καὶ πεποίκιλκε τὴν γραφήν. ἦθός τε ἐπιδείκνυται θεο-
σεβὲς καὶ δίκαιον καὶ καρτερικὸν καὶ εὐπρεπές, ἁπάσαις
τε συλλήβδην κεκοσμημένον ἀρεταῖς· καὶ ὁ μὲν πραγμα-
τικὸς τύπος αὐτῷ τοιοῦτος.
ὁ δὲ λεκτικὸς πῇ μὲν ὅμοιος Ἡροδότου, πῇ δὲ ἐν- 3

1 φίληστος P φίλιτος V[1] 4 πρακτικὸν E 5 τῶν ἱστοριῶν om E 7 εἰκόνα παιδείαν ordine numeris adpositis correcto P[1] 10 ἔχουσαν] περιέχουσαν malebat Herwerdenus
11 καὶ ἣν] ἱστορίαν ἣν cum Kruegero Herwerdenus. fort ἔνθεν an ὅθεν? 13 ἀθηνων E[1] 14 ἀνίστανται libri: corr Herwerdenus 15 ζηλωτὴς Ἡροδότου γενόμενος suspectauit Kruegerus conl u 3 16 πρεπεδεστάτους P 17 ἐπιτηδειότητας P
18 μεμέρικε E(PB?)s | τέταχε Es 19 τὴν ἀρχὴν sed in marg γρ τὴν γραφὴν P 20 εὐπετὲς libri: corr Rademacher
21 κεκ. ταῖς ἀρεταῖς E

δεέστερος. καθαρὸς μὲν γὰρ τοῖς ὀνόμασιν ἱκανῶς
καὶ σαφὴς ⟨καὶ ἐναργὴς⟩ καθάπερ ἐκεῖνος· ἐκλέγει δὲ
ὀνόματα συνήθη | τε καὶ προσφυῆ τοῖς πράγμασι, καὶ 779
συντίθησιν αὐτὰ ἡδέως πάνυ καὶ κεχαρισμένως οὐχ
ἧττον Ἡροδότου. ὕψος δὲ καὶ κάλλος καὶ μεγαλοπρέ-
πειαν καὶ τὸ λεγόμενον ἰδίως πλάσμα ἱστορικὸν Ἡρό-
4 δοτος ἔχει· οὐ γὰρ μόνον οὐκ ἴσχυσε τοῦτο παρ' αὐτοῦ
λαβεῖν, ἀλλὰ κἄν ποτε διεγεῖραι βουληθῇ τὴν φράσιν,
ὀλίγον ἐμπνεύσας ὥσπερ ἀπόγειος αὖρα ταχέως σβέν-
νυται * * μακρότερος γὰρ γίνεται τοῦ δέοντος ἐν
πολλοῖς, καὶ τοῦ πρέποντος οὐχ ὡς Ἡρόδοτος ἐφάπτε-
ται τῶν προσώπων εὐτυχῶς, ἀλλ' ἐν πολλοῖς ὀλίγωρός
ἐστιν, ἄν τις ὀρθῶς σκοπῇ.

5 Φίλιστος δὲ Θουκυδίδῃ μᾶλλον ⟨ἂν⟩ δόξειεν ἐοι-
κέναι καὶ κατ' ἐκεῖνον κοσμεῖσθαι τὸν χαρακτῆρα.
οὔτε γὰρ | ὑπόθεσιν εἴληφε πολυωφελῆ καὶ κοινήν, 780
[ὥσπερ Θουκυδίδης] ἀλλὰ μίαν καὶ ταύτην τοπικήν·
διῄρηκε δ' αὐτὴν εἰς γραφὰς δύο, Περὶ Σικελίας μὲν
τὴν προτέραν ἐπιγράφων, Περὶ Διονυσίου δὲ τὴν
ὑστέραν. ἔστι δὲ μία· καὶ τοῦτο γνοίης ἂν ἀπὸ τοῦ
2 τέλους τῆς Σικελικῆς. τάξιν δὲ οὐ τὴν κρατίστην
ἀποδέδωκε τοῖς δηλουμένοις ἀλλὰ δυσπαρακολούθητον,

1 καθαρῶς P 2 καὶ ἐναργὴς suppleui ex epitoma p 208, 7 | δὲ] τε Holwellus 6 an ⟨οἷον⟩ Ἡρόδοτος ⟨οὐκ⟩ 7 οὐχ ἴσχυσε PB 8 ποτε διεγειρη τὴν E | βουληθείη libri praeter E: corr Herwerdenus 9 σβέννυται B¹ 10 hiatum notaui. intercidit propositio sequentis περὶ τοῦ πρέποντος disputationis 11 οὐχ libri: καὶ οὐχ s 12 τοῖς προσώποις conl p 208, 11 Sauppius cf Pantazides Philhistoris 1862 fasc II p 72 | προσόπων V 14 ἂν cum Herwerdeno inserui 16 πολυωφελῆ mg M² πολὺ ἀφελῆ M¹ ceterique: corr Sylburgius cf t I 410, 12 17 ὥσπερ ⟨οὐδὲ⟩ Θουκυδίδης cl 243, 2 Crusius. ego deleui 18 εἰς ἐπιγραφὰς libri: corr Kruegerus 19 περὶ] περὶ δὲ B¹

SISMANOGLIO MEGARO



χεῖρον τῆς Θουκυδίδου. καὶ πρᾶγμα ἔξωθεν οὐ βού-
λεται παραλαμβάνειν, ὥσπερ οὐδὲ Θουκυδίδης, ἀλλ'
ἔστιν ὁμοειδής. ἦθός τε κολακικὸν καὶ φιλοτύραννον
ἐμφαίνει καὶ ταπεινὸν καὶ μικρολόγον. τῆς δὲ λέξεως 3
ᾗ Θουκυδίδης κέχρηται τὸ μὲν σημειῶδες καὶ περίερ-
γον πέφευγεν, τὸ δὲ στρογγύλον καὶ πυκνὸν καὶ ἐν-
781 θυμηματικὸν ἐκμέμακται. τῆς μέντοι καλλιλο|γίας τῆς
ἐκείνου καὶ ⟨τῆς σεμνότητος καὶ⟩ τοῦ πλούτου τῶν
ἐνθυμημάτων καὶ πολὺ ὑστερεῖ. οὐ μόνον δ' ἐν τού- 4
τοις, ἀλλὰ καὶ κατὰ τοὺς σχηματισμούς· ἡ μὲν γὰρ
πλήρης σχημάτων (καὶ οὐδὲν οἶμαι περὶ τῶν φανερῶν
ἐπὶ πλέον δεῖν λέγειν), ἡ δὲ Φιλίστου φράσις ὁμοει-
δὴς πᾶσα δεινῶς καὶ ἀσχημάτιστός ἐστι· καὶ πολλὰς
εὕροι τις ἂν περιόδους ὁμοίως ἐφεξῆς ὑπ' αὐτοῦ σχη-
ματιζομένας, οἷον ἐν ἀρχῇ τῆς δευτέρας τῶν περὶ Σι-
κελίας· 'Συρακόσιοι δὲ παραλαβόντες Μεγαρεῖς καὶ 5
Ἐνναίους, Καμαριναῖοι δὲ Σικελοὺς καὶ τοὺς ἄλλους
συμμάχους πλὴν Γελῴων ἀθροίσαντες, Γελῷοι δὲ
Συρακοσίοις οὐκ ἔφασαν πολεμήσειν· Συρακόσιοι δὲ
πυνθανόμενοι Καμαριναίους τὸν Ὕρμινον διαβάντας —'.

16 Philistus fr 8 p 186 Muell

1 χείρονα ci Sylburgius ἔτι χεῖρον Reiskius | πράγματ' Herwerdenus 2 παραλαμβάνειν ME: περιλαμβάνειν VPBs 3 ἦθος δὲ Herwerdenus 5 τὸ μὲν Sylburgius: ἣ (ἡ E) μὲν libri 6 πέφυκεν MEVP πέφυκε Bs: corr Sylburgius | πυκνὸν epitoma: πικρὸν libri 7 ἐκμέμακται Kruegerus: μέμικται libri 8 τῆς σεμνότητος καὶ suppleui ex epitoma 9 καὶ] κατὰ libri | ὑστερεῖ] immo καθυστερεῖ | δ' ἐν] δὲ libri: corr Holwellus 10 γὰρ ⟨ποικίλη? καὶ⟩ πλήρης Holwellus 11 καὶ . . . 12 λέγειν deleuit Herwerdenus 14 ὑπ' αὐτοῦ Vs: ὑφ' αὐτοῦ ME ὑφ' αὐτοῦ PB 15 σικελίαν libri: corr s 16 Συρακούσιοι Es et sic infra 19 συρακοσίους οὐκ MVPB συρακουσίους οὐκ Es: corr Stephanus p 77 20 ὕρμινον libri: Ὑρμινὸν s

6 ταῦτα δὲ ἀηδῆ πάνυ ὄντα ἐμοὶ φαίνεται. μικρός τε
παρὰ πᾶσαν ἰδέαν ἐστὶ καὶ εὐτελής, ἐάν τε πολιορκίας
διηγῆται ἐάν τε οἰκισμούς, ἐάν τε ἐπαίνους ἐάν τε
ψόγους | διαπορεύηται. ἀλλ' οὐδὲ τοῖς μεγέθεσι τῶν 782
ἀνδρῶν συνεξισῶν τοὺς λόγους, ἀλλὰ ψοφοδεεῖς καὶ
τοὺς ⟨κρατίστους⟩ δημηγοροῦντας καταλείπων τὰς δυ-
νάμεις καὶ τὰς προαιρέσεις ὁμοίους ἅπαντας ποιεῖ.
εὐστομίαν δέ τινα φυσικὴν εἰσφέρεται κατὰ τὴν ἑρμη-
νείαν καὶ σύνεσιν ἐπιτευκτικὴν τοῦ μετρίου. πρὸς δὲ
τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτηδειότερος Θουκυδίδου.

6 Θεόπομπος δὲ Χῖος ἐπιφανέστατος πάντων ⟨τῶν⟩
Ἰσοκράτους μαθητῶν γενόμενος καὶ πολλοὺς μὲν πανη-
γυρικούς, πολλοὺς δὲ συμβουλευτικοὺς συνταξάμενος
λόγους ἐπιστολάς τε τὰς Χιακὰς ἐπιγραφομένας καὶ
ὑποθήκας ἄλλας λόγου ἀξίας, ἱστορίαν πεπραγματευ-
2 μένος ἄξιος ἐπαινεῖσθαι πρῶτον μὲν τῆς ὑποθέσεως
τῶν ἱστοριῶν (καλαὶ γὰρ ἀμφότεραι, ἡ μὲν τὰ λοιπὰ
τοῦ Πελο|ποννησιακοῦ πολέμου περιέχουσα, ἡ δὲ τὰ 783
Φιλίππῳ πεπραγμένα), ἔπειτα τῆς οἰκονομίας (ἀμφό-
τεραι γάρ εἰσιν εὐπαρακολούθητοι καὶ σαφεῖς), μάλιστα
δὲ τῆς ἐπιμελείας τε καὶ φιλοπονίας τῆς κατὰ τὴν

1 *μικρὸς δὲ* Herwerdenus 2 *παρὰ* solito conpendio M: *περὶ* ceteri | *καὶ ἀτελὴς* libri: corr Boissonadius ad Eunapium p 579 | *ἐάν τε . . . 4 ψόγους*] in his cola nonnulla intercidisse ex epitoma p 209, 8 - 10 uideas 4 *τοῖς*] *ταῖς* PB 5 *συνεξιῶν* B[1] om E | *ψοφώδεις τοὺς* fuit cum conicerem 6 *κρατίστους* suppleui. ampliorem hiatum Crusius statuit | *καταλείπειν* libri 7 *ὁμοίους* MVP: *ὁμοίως* EBs | *ἅπαντα* E 9 *πρός τε* ci A Schaefer 11 *τῶν* Herwerdeno debetur 13 *δὲ* om P
14 *Χιακὰς*] *ἀχαικὰς* libri *ἀρχαϊκὰς* s: corr Westermannus De epistolarum scriptoribus graecis fasc VIII p 8 cf A Schaefer de Demosthene t III² p 306, 2 | *ἐπιγραφομένας* MEVB: *γραφομένας* Ps 15 *ἀξίαν ἱστορίαν* libri 19 *εἰκονομίας* M
21 *ἐπιμελίας* M | *τῆς κατὰ*] *κατὰ* E



συγγραφήν· δῆλος γάρ ἐστιν, εἰ καὶ μηδὲν ἔγραψε,
πλείστην μὲν παρασκευὴν εἰς ταῦτα παρεσκευασμένος,
μεγίστας δὲ δαπάνας εἰς τὴν συναγωγὴν αὐτῶν τετε-
λεκώς, καὶ πρὸς τούτοις πολλῶν μὲν αὐτόπτης γεγενη- 3
μένος, πολλοῖς δ' εἰς ὁμιλίαν ἐλθὼν ἀνδράσι τοῖς
τότε πρωτεύουσι καὶ στρατηγοῖς δημαγωγοῖς τε καὶ
φιλοσόφοις διὰ τὴν συγγραφήν· οὐ γάρ ὥσπέρ τινες
πάρεργον τοῦ βίου τὴν ἀναγραφὴν τῆς ἱστορίας ἐποιή-
σατο, ἔργον δὲ τὸ πάντων ἀναγκαιότατον. γνοίη δ' ἄν
τις αὐτοῦ τὸν πόνον ἐνθυμηθεὶς τὸ πολύμορφον τῆς
γραφῆς· καὶ γὰρ ἐθνῶν εἴρηκεν οἰκισμοὺς καὶ πόλεων 4
κτίσεις ἐπελήλυθε, βασιλέων τε βίους καὶ τρόπων
784 ἰδιώματα δεδήλωκε, καὶ | εἴ τι θαυμαστὸν ἢ παράδοξον
ἑκάστη γῆ καὶ θάλασσα φέρει, συμπεριείληφεν τῇ πραγ-
ματείᾳ. καὶ μηδεὶς ὑπολάβῃ ψυχαγωγίαν ταῦτ' εἶναι
μόνον· οὐ γάρ οὕτως ἔχει, ἀλλὰ πᾶσαν ὡς ἔπος εἰπεῖν
ὠφέλειαν περιέχει. ἵνα δὲ πάντ' ἀφῶ τἆλλα, τίς οὐχ ὁμο- 5
λογήσει τοῖς ἀσκοῦσι τὴν φιλόσοφον ῥητορικὴν ἀναγκαῖον
εἶναι πολλὰ μὲν ἔθη καὶ βαρβάρων καὶ Ἑλλήνων ἐκμα-
θεῖν, πολλοὺς δὲ νόμους ἀκοῦσαι πολιτειῶν τε σχήματα,
καὶ βίους ἀνδρῶν καὶ πράξεις καὶ τέλη καὶ τύχας; τού- 6

1 *μηδὲν ⟨τούτων⟩* Hellerus Philologi t XXIII p 553. ex-
spectes *μὴ διαρρήδην* 3 *τελελεκὼς* M[1] 5 *ὁμηλίαν* PB
6 *προτεύουσι* M | ante *καὶ στρατηγοῖς* nomen intercidisse uidetur
7 *οὐ γὰρ . . . 8 ἀναγραφὴν* MEVB: om Ps 9 *ἀναγκαιό-
τερον* libri: corr Sylburgius | *γοίη* B[1] *γνοί* E 10 *πολύμορ
τῆς* P[1] 11 *καὶ γὰρ* MEVB: *καὶ γὰρ καὶ* Ps 12 *τόπων*
cum Sylburgio Reiskius 14 *συμπεριείληφεν ἐν τῇ* libri: corr
Kruegerus 15 *ὑπολάβοι* E 16 *πᾶσιν* libri: corr Her-
werdenus 17 *περιέχει* MVB: *παρέχει* EPs 18 *ἀκούουσι*
libri: corr Holwellus cf Vlietius stud crit p 11 19 *ἔθνη*
libri: corr Holwellus | *ἑλλ. καὶ βαρβ.* E 20 *ἀκριβῶσαι* Her-
werdenus | *πολιτειῶν τε* VB *πολιτῶν τε* ME: *πολιτειῶν* Ps
21 *τέλη*] fuit qui *γένη* coniceret

τοις τοίνυν ἅπασαν ἀφθονίαν δέδωκεν οὐκ ἀπεσπασμέ-
νην τῶν πραγμάτων ἀλλὰ συμπαροῦσαν. πάντα ⟨τε⟩
δὴ ταῦτα ζηλωτὰ τοῦ συγγραφέως, καὶ ἔτι πρὸς τού-
τοις ὅσα φιλοσοφεῖ παρ' ὅλην τὴν ⟨συγγραφὴν περὶ⟩
δικαιοσύνης καὶ εὐσεβείας καὶ τῶν ἄλλων ἀρετῶν πολ-
7 λοὺς καὶ καλοὺς διεξερχόμενος λόγους. τελευταῖόν
ἐστι τῶν ἔργων αὐτοῦ καὶ χαρακτηρικώτατον, ὃ παρ'
οὐδενὶ τῶν ἄλλων συγ|γραφέων οὕτως ἀκριβῶς ἐξείρ- 785
γασται καὶ δυνατῶς οὔτε τῶν πρεσβυτέρων οὔτε τῶν
νεωτέρων· τί δὲ τοῦτό ἐστι; τὸ καθ' ἑκάστην πρᾶξιν
μὴ μόνον τὰ φανερὰ τοῖς πολλοῖς ὁρᾶν καὶ λέγειν,
ἀλλ' ἐξετάζειν καὶ τὰς ἀφανεῖς αἰτίας τῶν πράξεων καὶ
τῶν πραξάντων αὐτὰς καὶ τὰ πάθη τῆς ψυχῆς, ἃ μὴ
ῥᾴδια τοῖς πολλοῖς εἰδέναι, καὶ πάντα ἐκκαλύπτειν τὰ
μυστήρια τῆς τε δοκούσης ἀρετῆς καὶ τῆς ἀγνοουμέ-
8 νης κακίας. καί μοι δοκεῖ πως ὁ μυθευόμενος ἐν
Ἅιδου τῶν ψυχῶν ἀπολυθεισῶν τοῦ σώματος ἐξετασμὸς
ἐπὶ τῶν ἐκεῖ δικαστῶν οὕτως ἀκριβὴς εἶναι ὡς ὁ διὰ
τῆς Θεοπόμπου γραφῆς γιγνόμενος. διὸ καὶ βάσκανος
ἔδοξεν εἶναι, προσλαμβάνων τοῖς ἀναγκαίοις τινὰ ὀνει-
δισμοῖς κατὰ τῶν ἐνδόξων προσώπων οὐκ ἀναγκαῖα
πράγματα, ὅμοιόν τι ποιῶν τοῖς ἰατροῖς, οἳ τέμνουσι

1 ἅπασιν libri: corr Herwerdenus 2 τε restitui 3 δὲ libri: corr Herwerdenus 4 ὅλην τὴν libri: ὅλην τὴν ⟨ἱστορίαν περὶ⟩ Sylburgius 5 δικαιοσύνην καὶ εὐσέβειαν libri: corr idem | καὶ τῶν] καὶ περὶ τῶν s 7 ἐστὶ] ἐπὶ E | ὃ παρ'] ὅ περ Herwerdenus 9 καὶ δύναται libri: corr Holwellus 10 ἔστι ex ἔστιν corr M¹ 13 αὐτὰς ⟨τὰς διανοίας⟩ καὶ τὰ Reiskius αὐτὰς τὰ Kruegerus αὐτὰ τὰ Herwerdenus 16 πως] ὡς libri: οὐδ' olim conieceram | ἐν Ἅιδου emendatione palmari A Schaefer Philologi t XXV p 694: εἶναι libri 18 ὡς ὁ] ὁ s
20 προσλαμβάνων MEVB: προλαμβάνων Ps | τοῖς ἀναγκαίοις τινὰ ME: τινὰ τοῖς ἀναγκαίοις VPBs 21 κατὰ Reiskius: καὶ τὰ libri | προσόπων V 22 πράγματα] fort ἐπηρεάσματα. quam-



καὶ καίουσι τὰ διεφθαρμένα τοῦ σώματος ἕως βάθους
τὰ καυτήρια καὶ τὰς τομὰς φέροντες, οὐδὲν τῶν ὑγιαι-
786 νόντων καὶ κατὰ φύσιν | ἐχόντων στοχαζόμενοι. τοι-
οῦτος μὲν δή τις ὁ πραγματικὸς Θεοπόμπου χαρακτήρ.
ὁ δὲ λεκτικὸς Ἰσοκράτει μάλιστα ἔοικε· καθαρά τε 9
γὰρ ἡ λέξις καὶ κοινὴ καὶ σαφής, ὑψηλή τε καὶ μεγα- 6
λοπρεπὴς καὶ τὸ πομπικὸν ἔχουσα πολύ, συγκειμένη
τε κατὰ τὴν μέσην ἁρμονίαν, ἡδέως καὶ μαλακῶς
ῥέουσα. διαλλάττει δὲ τῆς Ἰσοκρατείου κατὰ τὴν πι-
κρότητα καὶ τὸν τόνον ἐπ' ἐνίων, ὅταν ἐπιτρέψῃ τοῖς
πάθεσι, μάλιστα δ' ὅταν ὀνειδίζῃ πόλεσιν ἢ στρατηγοῖς
πονηρὰ βουλεύματα καὶ πράξεις ἀδίκους (πολὺς γὰρ 10
ἐν τούτοις), καὶ τῆς Δημοσθένους δεινότητος οὐδὲ
κατὰ μικρὸν διαφέρει, ὡς ἐξ ἄλλων πολλῶν ἄν τις
ἴδοι κἀκ τῶν Χιακῶν ἐπιστολῶν, ἃς τῷ ⟨συμφύτῳ⟩
πνεύματι ἐπιτρέψας γέγραφεν. εἰ δ' ὑπερεῖδεν ἐν τού-
τοις ἐφ' οἷς μάλιστα δὴ ἐσπούδακε τῆς τε συμπλοκῆς
787 τῶν φωνηέντων γραμμάτων | καὶ τῆς κυκλικῆς εὐρυθ-
μίας τῶν περιόδων καὶ τῆς ὁμοειδείας τῶν σχημα-
τισμῶν, πολὺ ἀμείνων ἂν ἦν αὐτὸς ἑαυτοῦ κατὰ τὴν
φράσιν.
ἔστι δὲ ἃ καὶ κατὰ τὸν πραγματικὸν τόπον ἁμαρ- 11
τάνει, καὶ μάλιστα κατὰ τὰς παρεμβολάς· οὔτε γὰρ

quam illud nescio an defendi possit conl Plutarcho de Herod malign 3 p 855ᵇ 1 ἕως MEVB¹: ὡς Ps mg B 2 τὰ[ς] cum litura B | οὐδὲν MEVB: οὐδὲ Ps 4 θεοπέμπου M 5 καθαρά τε MEVB: καθαρὰ Ps 14 κατὰ] παρὰ Herwerdenus
15 ἀχαικῶν libri ἀρχαϊκῶν s cf p 244, 14 | post τῷ lacunam IX uel X litterarum ME, XI aut XII V, V aut VI indicat B, nullam Ps: σφοδρῷ suppleuit Herwerdenus. possis etiam ἐναγωνίῳ cf t I 360, 11 17 μάλιστα δὴ] μάλιστα ἂν libri μάλιστα ci Kruegerus 19 ὁμοειδίασ E 22 τὸν πρακτικὸν E | τύπον Sylburgius. cf adn p 239, 1 23 παραβολάς libri: corr Kiesslingius et Vlietius stud crit p 8 s cf t I 435, 9; παρεκβο-

*ἀναγκαῖαί τινες αὐτῶν οὔτ' ἐν καιρῷ γενόμεναι, πολὺ δὲ τὸ παιδιῶδες ἐμφαίνουσαι· ἐν αἷς ἐστι καὶ τὰ περὶ Σιληνοῦ τοῦ φανέντος ἐν Μακεδονίᾳ καὶ τὰ περὶ τοῦ δράκοντος τοῦ διαναυμαχήσαντος πρὸς τὴν τριήρη καὶ ἄλλα τούτοις οὐκ ὀλίγα ὅμοια.*

*Οὗτοι παραληφθέντες οἱ συγγραφεῖς ἀρκέσουσι τοῖς ἀσκοῦσι τὸν πολιτικὸν λόγον ἀφορμὰς ἐπιτηδείους παραδειγμάτων παρασχεῖν εἰς ἅπασαν ἰδέαν.*

*λὰς* Valckenaerius ad Herodotum IV 167 1 *γενόμεναι*] *γινόμεναι* Es 2 *αἷς* EV: *οἷς* reliqui | *καὶ τὰ* MEVB: *καὶ* Ps 3 *Σιληνοῦ*] *Σειληνοῦ* s | *καὶ περὶ* (om *τὰ*) E 6 *Οὗτοι* Holwellus: *τούτοις* libri 8 *πᾶσαν* E | *ἐπιστολῆς τέλος* subscribit M. 'ad finem epistolae non nulla uidentur deesse' Kruegerus adnotat.

SISMANOGLIO MEGARO



# CETERORVM DIONYSII DE ARTE LIBRORVM VESTIGIA

Qvintilianvs III 1, 16 'fecit deinde uelut propriam Hermagoras uiam, quam plurimi sunt secuti. cui maxime par atque aemulus uidetur Athenaeus fuisse. multa post Apollonius Molon, multa Areus, multa Caecilius et Halicarnaseus Dionysius'.

5 eodem modo Caecilio Dionysium Quintilianus IX 3, 89 infra p 252, 5) subiungit

# ΠΕΡΙ ΤΗΣ ΠΟΛΙΤΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

## ΠΡΟΣ ΤΟΥΣ ΚΑΤΑΤΡΕΧΟΝΤΑΣ ΑΥΤΗΣ ΑΔΙΚΩΣ

Dionysivs de Thucydide 2 p 327, 21 *τὸ φιλόνεικον τοῦτο καὶ δύσερι καὶ προσυλακτοῦν εἰκῇ πᾶσιν ἐν παντὶ πεφυλαγμένος τῷ βίῳ μέχρι τοῦ παρόντος καὶ οὐδεμίαν ἐκδεδωκὼς γραφὴν ἐν ᾗ κατηγορῶ τινος, ἔξω μιᾶς πραγματείας, ἣν συνεταξάμην ὑπὲρ τῆς πολιτικῆς φιλοσοφίας πρὸς τοὺς κατατρέχοντας αὐτῆς ἀδίκως.*

37 Laertivs Diogenes X 3 s *Διότιμος δ' ὁ Στωικὸς δυσμενῶς ἔχων πρὸς αὐτὸν πικρότατα αὐτὸν* (*Ἐπίκουρον*) *διαβέβληκεν* .... (4) *ἀλλὰ καὶ οἱ περὶ Ποσειδώνιον τὸν Στωικὸν καὶ Νικόλαος καὶ Σωτίων ἐν τοῖς δώδεκα τῶν ἐπιγραφομένων Διοκλείων ἐλέγχων, ἅ ἐστι περὶ τῆς εἰκάδος, καὶ Διονύσιος ὁ Ἁλικαρνασεύς. καὶ γὰρ σὺν τῇ μητρὶ περιιόντα αὐτὸν ἐς τὰ οἰκίδια καθαρμοὺς ἀναγινώσκειν, καὶ σὺν τῷ πατρὶ γράμματα διδάσκειν λυπροῦ τινος μισθαρίου. ἀλλὰ καὶ τῶν ἀδελφῶν ἕνα προαγωγεύειν. καὶ Λεοντίῳ συνεῖναι τῇ ἑταίρᾳ. τὰ δὲ Δημοκρίτου περὶ τῶν ἀτόμων καὶ Ἀριστίππου περὶ τῆς ἡδονῆς ὡς ἴδια λέγειν κτλ.*

6 *πολιτικὴν φιλοσοφίαν* artem rhetoricam dicit ut t I p 6, 25 cf 3, 11. 4, 19 al  8 fr 37 Blassius De Dionysii Hal scriptis rhetoricis p 23 recte huc reuocauit. inter artis rhetoricae obtrectatores Epicurei facile primum locum tenebant  14 credas conuicia tralaticia, quae Laertius § 6 et 7 colligit, pleraque a Dionysio repetita esse. sed quae protulerit quae neglexerit ignorabimus. igitur prima tantum, quae sine auctore afferuntur, exempli causa adposui  14—16 cf Demosth or XVIII 258 s. 265.

SISMANOGLIO MEGARO



# ΠΕΡΙ ΕΚΛΟΓΗΣ ΟΝΟΜΑΤΩΝ

Dionysivs de comp uerb p 5, 15 ad Metilium Rufum: *ἐὰν δ' ἐγγένηταί μοι σχολή, καὶ περὶ τῆς ἐκλογῆς τῶν ὀνομάτων ἑτέραν ἐξοίσω σοι γραφήν, ἵνα τὸν λεκτικὸν τόπον τελείως ἐξειργασμένον ἔχῃς. ἐκείνην μὲν οὖν τὴν πραγματείαν εἰς νέωτα πάλιν ὥραις ταῖς αὐταῖς προσδέχου θεῶν ἡμᾶς φυλαττόντων ἀσινεῖς τε καὶ ἀνόσους, εἰ δή ποτε ἄρα τούτου πέπρωται βεβαίως τυχεῖν.* idem ibid p 8, 4 *πολλῶν καὶ μεγάλων ὄντων θεωρημάτων περὶ τὴν ἐκλογήν, ὑπὲρ ὧν πολὺς ἐγένετο φιλοσόφοις τε καὶ πολιτικοῖς ἀνδράσι λόγος.*

Steteritne Dionysius promissis necne, non constat. certum enim eius libri uestigium non exstat. fallit testimonium scholiorum Hermog de u *ὑπόξυλος* apud Schaeferum ad Gregor Cor p 241 uel in Bekkeri Anecd Gr p 1073 cf Walzii Rhet t V p 486, 12 adn *καὶ Διονύσιος ἐν τῇ ἐκλογῇ τῶν ὀνομάτων*: quod ad Aelium Dionysium atticistam referri facile intellegas conl Photio lex p 629, 22.

fieri potest ut Caecilii libri duo *Κατὰ Φρυγῶν* aut Dionysium a coeptis reuocauerint aut eius librum similem obliuione presserint.

# ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ

Qvintilianvs IX 3, 87 'Olim plura de figuris quam necesse erat .... (89) haec omnia copiosius sunt executi, qui non ut partem operis transcurrerunt sed proprie libros huic operi dedicauerunt, sicut Caecilius, Dionysius, Rutilius, Cornificius, Visellius aliique non pauci'.

cf Dionysivs de comp uerb 8 p 32, 7 ἡ δὲ περὶ τὸν σχηματισμὸν (θεωρία) ποδαπή; οὐκ ἔστιν εἷς τρόπος τῆς ἐκφορᾶς ἁπάντων τῶν νοημάτων, ἀλλὰ τὰ μὲν ὡς ἀποφαινόμενοι λέγομεν τὰ δ' ὡς πυνθανόμενοι, τὰ δ' ὡς εὐχόμενοι τὰ δ' ὡς ἐπιτάττοντες, τὰ δ' ὡς διαποροῦντες τὰ δ' ὡς ὑποτιθέμενοι, τὰ δὲ ἄλλως πως σχηματίζοντες, οἷς ἀκολούθως καὶ τὴν λέξιν πειρώμεθα σχηματίζειν. πολλοὶ δὲ δή που σχηματισμοὶ καὶ τῆς λέξεώς εἰσιν ὥςπερ καὶ τῆς διανοίας, οὓς οὐχ οἷόν τε κεφαλαιωδῶς περιλαβεῖν, ἴσως δὲ καὶ ἄπειροι· ὑπὲρ ὧν καὶ πολὺς ὁ λόγος καὶ βαθεῖα ἡ θεωρία.

idem de Demosth 39 p 212, 10 πρὸς δὲ τοῖς ῥυθμοῖς (κυριώτατον) καὶ τὸ τοὺς σχηματισμοὺς γενναίους εἶναι καὶ ἀξιωματικοὺς οὐ μόνον τοὺς κατὰ τὰς νοήσεις ἀλλὰ καὶ κατ' αὐτὴν τὴν λέξιν συνισταμένους. ἐξαριθμεῖσθαι δὲ νῦν, ὅσα γένη σχηματισμῶν ἐστι τῶν τε κατωνομασμένων καὶ τῶν ἀκατονομάστων, καὶ τίσιν αὐτῶν ἡ τοιαύτη μάλιστα πέφυκεν ἁρμονία χαίρειν, οὐκ ἔχω καιρόν.

Sed quae de figuris uel formis dicendi Dionysius praecepisse traditur a scholiasta Aristidis t III p 273, 29 (cf p 304, 21 ss), ab Halicarnassensi aliena esse perspicias ex erroribus Iohannis Siculi t VI p 95, 4 W. Marcellini IV 190, 13 Tzetzae in Anecd Oxon IV 126, 6 nec fugit Blassium De Dionysii Hal scriptis rhetoricis p 29 aut Roesslerum in Dionysii scr rhet fragmentis p 43.